Παντὸς τμήματος ἀπὸ ὀρθογωνίου κώνου τομῆς ἀφαιρεθέντος τὸ κέντρον τοῦ βάρεος ἐπὶ τῆς διαμέτρου ἐστὶν, ἃ διάμετρός ἐστι τοῦ τμήματος· τὸν δὲ τρόπον κείμενον, διαιρεθείσης τῆς διαμέτρου εἰς ἴσα πέντε, ἐπὶ μέσου πεμπταμορίου· ὡς τε τὸ τμῆμα αὐτοῦ τὸ ἐγγύτερον τῆς ἐλάσσονος βάσεως τοῦ τόμου πρὸς τὸ λοιπὸν τμῆμα τὸν αὐτὸν ἔχειν λόγον, ὃν ἔχει τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ τετράγωνον τὸ ἀπὸ ἡμίσους τῆς μείζονος τῶν βάσεων τοῦ τόμου, ὕψος δὲ τὴν ἴσην συναμφοτέρᾳ, τῇ τε διπλασίᾳ τῆς ἐλάσσονος τῶν βάσεων, καὶ τῇ μείζονι, τουτέστι τὸ στερεὸν, τὸ βάσιν μὲν ἔχον τὸ τετράγωνον τὸ ἀπὸ ἡμίσους τῆς ἐλάσσονος τῶν βάσεων τοῦ τόμου, ὕψος δὲ τὴν ἴσην ἀμφοτέραις, τῇ τε διπλασίᾳ τῆς μείζονος, καὶ τῇ ἐλάσσονι αὐτῶν.

[r] τὰ τρία πέμπτα τῆς ΖΗ. [s] ΔΕΓ [t] ὡς ἡ ΕΒ πρὸς ΖΗ [u] καὶ ς′ [w] καὶ δ′ τῆς ΓΒ λόγον ἔχει

Digitized by Google

[v] Ἐστωσαν ἐν ὀρθογωνίᾳ κώνου τομῇ δύο διάμετροι αἱ ΑΓ, ΔΕ. Διάμετρος δὲ ἔστω τῆς ΑΒΓ τμήματος ἡ ΒΖ. [x] Φανερὸν δὴ ὅτι καὶ τοῦ ΑΔΕΓ τόμου διάμετρός ἐστιν ἡ ΗΖ· καὶ αἱ μὲν ΑΓ, ΔΕ παράλληλοί εἰσι τῇ κατὰ τὸ Β ἐφαπτομένῃ τῆς τομῆς. [y] Καὶ τῆς ΗΖ διῃρήσθω εἰς πέντε ἴσα, μέσον ἔστω πεμπταμόριον ἡ ΘΚ. Ἡ δὲ ΘΙ ποτὶ τὰν ΙΚ τὸν αὐτὸν ἐχέτω λόγον, ὃν ἔχει τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ [z] τᾶς ΑΖ τετράγωνον, ὕψος δὲ τὰν ἴσαν ἀμφοτέραις τᾷδε β' [a] τᾶς ΔΗ, καὶ τᾷ ΑΖ, ποτὶ τὸ στερεὸν τὸ βάσιν ἔχον τὸ ἀπὸ τᾶς ΔΗ τετράγωνον, ὕψος δὲ τὰν ἴσαν ἀμφοτέραις, τᾷ β' τᾶς ΑΖ, καὶ τᾷ ΔΗ. Δεικτέον ὅτι [b] τοῦ ΑΔΕΓ τόμου κέντρον ἐστὶ τοῦ βαρέος τὸ Ι σαμεῖον.



Sint in rectanguli coni ſectione duæ rectæ ΑΓ, ΔΕ. Ac ſegmenti ΑΒΓ diameter ſit ΒΖ. Manifeſtum utique eſt ſegmenti etiam ΑΔΕΓ diametrum eſſe ΗΖ; ipſaſque ΑΓ, ΔΕ rectæ illi parallelas eſſe, quæ ſectionem in puncto Β contingit. Itaque ſecta ΗΖ in æquales quinque partes, ſit quinque harum partium media ΘΚ. Ac ΘΙ ad ΙΚ eamdem habeat rationem, quam ſolidum baſim quidem habens quadratum, quod ad ΑΖ deſcribitur, altitudinem vero rectam utrique æqualem, tum duplæ ipſius ΔΗ, tum ipſi ΑΖ; ad ſolidum baſim quidem habens quadratum, quod deſcribitur a ΔΗ, altitudinem vero rectam æqualem utrique, tum duplæ ipſius ΑΖ, tum ipſi ΔΗ. Oportet demonſtrare, ſegmenti ΑΔΕΓ centrum gravitatis eſſe punctum Ι.

[v] Ἔστω δὴ [c] τᾷ μὲν ΖΒ ἴσα ἁ ΜΝ, τᾷ δὲ ΗΒ ἴσα ἁ [d] ΝΟ· καὶ εἰλήφθω τᾶς μὲν ΜΝ, ΝΟ [e] μέσα ἀνάλογον ἁ ΝΞ· τετάρτα δ' [f] ἀνάλογον ἁ ΤΝ. Καὶ ὡς ΤΜ ποτὶ ΤΝ, οὕτως ἁ ΖΘ ποτὶ τίνα ἀπὸ τᾶς Ι, [g] ὅπᾳ ἂν ἔρχηται τὸ [h] ἕτερον σαμεῖον· οὐδὲν γὰρ διαφέρει, εἴτε κὰ μεταξὺ τῶν Ζ, Η, εἴτε καὶ μεταξὺ τῶν Η, Β, τὰν ΙΡ. Καὶ ἐπεὶ ἐν ὀρθογωνίᾳ κώνου τομᾷ διάμετρός ἐστι τᾶς τμάματος ἁ ΖΒ, [i] ἁ ΒΖ δὲ ἤτοι ἀρχά ἐστι τᾶς τομᾶς, ἢ παρὰ τὰν διάμετρον ἄκταν· αἱ δὲ ΑΖ, ΔΗ εἰς αὐτὰν [k] τεπαγμένως εἰσὶ κατεγμέναι· ἐπειδὴ παράλληλοι εἰσὶ τᾷ ἀπὸ τᾶς Β τᾶς τομᾶς [l] ἐφαπτομένᾳ. Εἰ δὲ τοῦτο, ἐστὶν ὡς ἁ ΑΖ ποτὶ ΔΗ δυνάμει, οὕτως ἁ ΖΒ ποτὶ ΒΗ μάκει, [m] τουτέστιν ἁ ΜΝ ποτὶ ΝΟ. Ὡς δὲ ἁ ΜΝ ποτὶ ΝΟ μάκει, [n] οὕτως ἁ ΜΝ ποτὶ ΝΞ δυνάμει. Καὶ ὡς ἄρα ἁ ΑΖ ποτὶ ΔΗ δυνάμει, οὕτως ἁ ΜΝ ποτὶ ΝΞ δυνάμει. Ὥστε καὶ μάκει ἐν αὐτῷ τῷ λόγῳ. Καὶ ἄρα ὁ ἀπὸ ΑΖ κύβος ποτὶ τὸν ἀπὸ ΔΗ κύβον, οὕτως ὁ ἀπὸ ΜΝ κύβος ποτὶ τὸν ἀπὸ ΝΞ κύβον. Ἀλλ' ὡς μὲν ὁ ἀπὸ ΑΖ κύβος ποτὶ τὸν ἀπὸ ΔΗ κύβον, οὕτως τὸ ΒΑΓ τμᾶμα ποτὶ τὸ ΔΒΕ τμᾶμα· ὡς δὲ ὁ ἀπὸ ΜΝ κύβος ποτὶ τὸν ἀπὸ ΝΞ κύβον, οὕτως ἁ ΜΝ ποτὶ ΝΤ. Ὡς τε καὶ διελόντι, ἐστὶν ὡς ὁ ΑΔΓΕ τομεὺς [o] ποτὶ τὸ ΔΒΕ τμᾶμα, οὕτως ἁ ΜΤ ποτὶ ΝΤ, τουτέστι τὰ γ' ε' τᾶς ΗΖ ποτὶ ΙΡ. Καὶ ἐπεὶ τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ ΑΖ

Itaque ſit ipſi quidem ΖΒ æqualis ΜΝ, ipſi vero ΕΒ æqualis ΝΟ: ſumaturque media inter ΜΝ, ΝΟ proportionalis ΝΞ; et ab his quarta ΤΝ. Tum fiat, ut ΤΜ ad ΤΝ, ita ΖΘ ad rectam aliquam ΙΡ a puncto Ι ductam; ubicunque ceciderit alterum ejus punctum: nihil enim refert, utrum inter puncta Ζ, Η, an vero inter Η, Β cadat. Et quoniam rectanguli coni ſectionis diameter eſt ΖΒ, hæc ſive primaria ſectionis diameter eſt, ſive illi ducta eſt parallela: atque huic ordinate applicatæ ſunt ΑΖ, ΔΗ; quoniam rectæ illi parallelæ ſunt, quæ ſectionem in puncto Β contingit. Quod ſi ita eſt, ut ΑΖ ad ΔΗ poteſtate, ita ſe habet longitudine ΖΒ ad ΒΗ, hoc eſt ΜΝ ad ΝΟ. Ut autem ΜΝ ad ΝΟ longitudine, ita ſe habet poteſtate ΜΝ ad ΝΞ. Ut igitur poteſtate ΑΖ ad ΔΗ, ita etiam poteſtate ſe habet ΜΝ ad ΝΞ. Quare etiam longitudine eamdem inter ſe invicem rationem habent. Igitur etiam ut cubus, qui ab ΑΖ deſcribitur, ad cubum, qui deſcribitur a ΔΗ, ita ſe habet cubus, qui a ΜΝ deſcribitur, ad cubum, qui deſcribitur a ΝΞ. Sed ut cubus quidem, qui ab ΑΖ deſcribitur, ad cubum, qui deſcribitur a ΔΗ, ita ſe habet ſegmentum ΒΑΓ ad ſegmentum ΔΒΕ; ut vero cubus qui a ΜΝ deſcribitur, ad cubum qui deſcribitur a ΝΞ, ita ſe habet ΜΝ ad ΝΤ. Igitur etiam dividendo, ut ſegmentum ΑΔΓΕ ad ſegmentum ΔΒΕ, ita ſe habet ΜΤ ad ΤΝ; hoc eſt tres quintæ partes ipſius ΗΖ ad ΙΡ. Et quoniam ſolidum baſin quidem habens quadratum, quod

[x] φανερὸν δὲ ὅτι καὶ τοῦ ΑΓ, ΔΕ παράλληλοι [y] καὶ τῆς ΕΖ [z] τῆς ΛΖ [a] τῆς ΖΗ [b] τοῦ ΑΔΓ [c] τὰ μὲν ΖΕ [d] ΝΘ [e] μέσα ex MS. [f] ἀνάλογον [g] ὅπερ [h] στερεὸν [i] ἁ ΒΖ ἤτοι ἀρχικὴ ἐστὶ [k] τεταγμένως ex MS. [l] ἐφαπτομέναι [m] τουτέστιν ἁ ΜΝ Χ ποτὶ ΝΞ δυνάμει, καὶ ὡς ἁ ΜΝ ποτὶ δυνάμει· οὕτως ἁ ΜΝ ποτὶ δυνάμει, οὕς τε καὶ ΜΑΚΝ ἐν τῷ αὐτῷ λόγῳ· καὶ ὡς ἄρα ὁ ἀπὸ ΑΖ κύβος. [n] οὕτως ἁ ΖΒ ποτὶ ΒΗ μάκει τουτέστιν καὶ ὡς ἄρα ἁ ΑΖ ποτὶ ΔΗ [o] ποτὶ τὸ ΔΒ τμᾶμα

Digitized by Google

ab AZ describitur, altitudinem vero rectam compositam tum ex dupla ipsius ΔH, tum ex AZ, ad cubum qui describitur ab AZ, eam rationem habet, quam dupla ipsius ΔH, una cum AZ, ad ZA; ideoque et quam dupla ipsius NΞ, una cum NM ad NM: atque ut cubus quidem, qui ab AZ describitur, ad cubum qui describitur a ΔH, ita se habet MN ad NT: ut vero cubus, qui describitur a ΔH, ad solidum basim quidem habens quadratum, quod a ΔH describitur, altitudinem vero rectam compositam tum ex dupla ipsius AZ, tum ex ΔH, ita se habet ΔH ad rectam compositam tum ex dupla ipsius AZ, tum ex ΔH; ideoque et ut TN ad rectam compositam tum ex dupla ipsius ON, tum ex TN. Propterea quatuor sunt magnitudines, nempe solidum basim quidem habens quadratum, quod ab AZ describitur, altitudinem vero rectam, compositam tum ex dupla ipsius ΔH, tum ex AZ; et cubus qui describitur ab AZ; et cubus, qui describitur a ΔH; et solidum basim quidem habens quadratum, quod a ΔH describitur, altitudinem vero rectam compositam tum ex dupla ipsius AZ, tum ex ΔH. Quae quidem quatuor magnitudines quatuor magnitudinibus binae binis proportionales sunt; nempe rectae compositae tum ex dupla ipsius NΞ, tum ex NM; deinde ipsi MN; postea ipsi NT; denique rectae compositae tum ex dupla ipsius NO, tum ex NT. Igitur, ex aequa proportione, ut solidum basim quidem habens quadratum, quod ab AZ describitur, altitudinem vero rectam compositam tum ex dupla ipsius ΔH, tum ex AZ, ad solidum basim quidem habens quadratum, quod describitur a ΔH, altitudinem vero rectam compositam tum ex dupla ipsius AZ, tum ex ΔH, ita se habet recta composita tum ex dupla ipsius NΞ, tum ex NM, ad rectam compositam tum ex dupla ipsius NO, tum ex NT. Ut autem solidum, quod diximus, ad id, quod diximus, solidum, ita se habet ΘI ad IK. Igitur etiam ut ΘI ad IK, ita se habet recta composita ad rectam compositam. Quare etiam componendo, sumendoque antecedentium quincupla. Ut igitur ZH ad IK, ita se habet tum quincupla utriusque MNT, tum decupla utriusque NΞ, NO, ad duplam ipsius ON, et amplius NT. Ut autem ZH ad ZK, duas quintas ejusdem partes, ita se habet tum quincupla utriusque MNT, tum decupla utriusque ΞNO, ad duplam utriusque MNT, et quadruplam utriusque ΞNO. Igitur ut ZH ad ZI, ita se habebit tum quincupla utriusque MNT, tum decupla utriusque ΞNO, ad rectam compositam tum ex dupla ipsius MN, tum ex quadrupla ipsius NΞ, tum ex sexcupla ipsius ON,

τετράγωνον, ὕψος δὲ τὴν συγκειμένην ἔκτε τᾶς β' τᾶς ΔH, καὶ τᾶς AZ, πτὶ τὸν ἀπὸ AZ κύβον λόγον ἔχει, ὃν ἁ β' τᾶς ΔH, μετὰ τᾶς AZ ποτὶ ZA· ὥστε καὶ ὃν ἁ β' τᾶς NΞ, μετὰ τᾶς NM, ποτὶ NM· ἔστι δὲ καὶ ὡς ὁ ἀπὸ AZ κύβος ποτὶ τὸν ἀπὸ ΔH κύβον, ἕτως ἁ MN ποτὶ NT· ὡς δὲ ὁ ἀπὸ ΔH κύβος ποτὶ τὸ στερεόν, τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ ΔH τετράγωνον, ὕψος δὲ τὰν συγκειμέναν ἔκτε [p] τᾶς διπλασίας τᾶς AZ, μετὰ τᾶς ΔH, ἕτως ἁ ΔH ποτὶ τὰν συγκειμέναν ἔκτε τᾶς διπλασίας τᾶς AZ, καὶ τᾶς ΔH· ὡς τε καὶ ἁ TN ποτὶ τὰν συγκειμέναν ἔκτε τᾶς β' τᾶς ON, καὶ τᾶς TN. Γέγονεν ἄν τέσσαρα μεγέθη, τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ AZ τετράγωνον, ὕψος δὲ τὰν συγκειμέναν ἔκτε τᾶς διπλᾶς τᾶς ΔH, καὶ [q] τᾶς AZ, καὶ ὁ ἀπὸ AZ κύβος, καὶ ὁ ἀπὸ ΔH κύβος, καὶ τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ ΔH τετράγωνον, ὕψος δὲ τὰν συγκειμέναν ἔκ τε τᾶς β' τᾶς AZ, καὶ τᾶς ΔH. Τέταρσι μεγέθεσιν ἀνάλογον σὺν δύο λαμβανομένοις, τά τε συγκειμένα ἔκτε τᾶς β' τᾶς NΞ, καὶ τᾶς NM, [r] καὶ ἑτέρῳ μεγέθει τᾶς MN, καὶ ἄλλο ἐξῆς τᾷ NT, καὶ τελευταῖον τᾷ συγκειμένᾳ, ἔκτε τᾶς β' τᾶς NO, καὶ τᾶς NT. Δι' ἴσω ἄρα γέγηται, ὡς τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ AZ τετράγωνον, ὕψος δὲ τὰν συγκειμέναν ἔκτε τᾶς β' τᾶς ΔH, καὶ τᾶς AZ, ποτὶ τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ ΔH τετράγωνον, [s] ὕψος δὲ τὰν συγκειμέναν ἔκτε τᾶς β' τᾶς AZ, καὶ τᾶς ΔH, ἕτως ἁ συγκειμένα ἔκτε τᾶς β' τᾶς NΞ, καὶ τᾶς MN, ποτὶ τὰν συγκειμέναν ἔκτε τᾶς β' τᾶς NO, καὶ τᾶς NT. Ἀλλ' ὡς τὸ εἰρημένον στερεὸν, ποτὶ τὸ εἰρημένον στερεὸν, ἕτως ἁ ΘI ποτὶ IK. Καὶ ὡς ἄρα ἁ ΘI ποτὶ IK, [t] ἕτως ἁ συγκειμένα ποτὶ τὰν συγκειμέναν. Ὡς τε καὶ συνθέντι, καὶ τῶν ἡγεμένων [u] τὰ πενταπλάσια. Ἔστιν ἄρα ὡς ἁ ZH ποτὶ IK, [w] ἕτως ἁ πενταπλῆ συναμφοτέρᾳ τᾶς MNT, καὶ ἑ συναμφοτέρᾳ τᾶς NΞ, NO, ποτὶ τὰν β' τᾶς ON, καὶ τὰν NT. Καὶ ὡς ἁ ZH ποτὶ ZK, ἅσαν αὐτᾶς δύο πέμπτα, ἕτως ἁ ε' συναμφοτέρᾳ τᾶς MNT, [x] καὶ δεκαπλῆ συναμφοτέρᾳ τᾶς ΞNO, ποτὶ τὰν β' συναμφοτέρᾳ τᾶς MNT, καὶ δ' συναμφοτέρᾳ τᾶς ΞNO. Ἔσαι ἄν ὡς ZH ποτὶ ZI, ἕτως ἁ ε' συναμφοτέρᾳ τᾶς MNT, καὶ ἑ συναμφοτέρᾳ τᾶς ΞNO ποτὶ τὰν συγκειμέναν, ἔκτε τᾶς β' τᾶς MN, καὶ δ' τᾶς NΞ, καὶ ς' τᾶς ON, καὶ γ' τᾶς NT. Ἐπεὶ οὖ τέσ-

[p] τᾶς AZ
[q] τᾶς AZ κύβος, καὶ ὁ ἀπὸ ΔH κύβος.
[r] καὶ τῷ ἑτέρῳ
[s] ὕψος δὲ τὰν συγκειμέναν ἔκτε τᾶς β' τᾶς NΞ
[t] ἕτως ex MS.
[u] τὰ ἑ
[w] ἕτως ἁ συναμφοτέρᾳ
[x] καὶ ἑ.

Digitized by Google

σάρες ἀϑεῖαι ἐξῆς ἀνάλογόν εἰσιν αἱ ΜΝΞ, ΟΝΤ, καί ἐσιν ὡς μὲν ἀ ΝΤ ϖοτὶ ΤΜ, οὕτως εἰλημένα τις ἀ ΡΙ ποτὶ τὰ τρία ϖέμπτα τᾶς ΖΗ, τϒτέϛι τᾶς ΜΟ· ὡς δὲ ἀ συγκειμένα ἔκτε τᾶς β′ τᾶς ΝΜ, καὶ δ′ τᾶς ΝΞ, καὶ ϛ′ [γ] τᾶς ΝΟ, καὶ γ′ τᾶς ΝΤ, ϖοτὶ τὰν συγκειμέναν ἔκτε τᾶς ε′ συναμφοτέρϒ τᾶς ΜΝΤ, καὶ ι′ συναμφοτέρϒ τᾶς ΞΝΟ, ἄτως ἑτέρα τις εἰλημένα ἀ ΙΖ ϖοτὶ τὰν ΖΗ, τϒτέϛιν ϖοτὶ τὰν ΜΟ, ἔϛαι διὰ τὰ ϖρότερον ἀ ΡΖ δύο πέμπτα τᾶς ΜΝ· τϒτέϛι τᾶς ΖΒ. Ὥϛε κέντρον βάρϒς ἐϛὶ τᾶ ΑΒΓ τμάματος τὸ Ρ σαμεῖον. Ἔϛω δὴ καὶ τᾶ ΔΒΕ τμάματος κέντρον βάρϒς τὸ Χ σαμεῖον. Τᾶ ἄρα ΑΔΕΓ τόμῳ ἔϛαι τὸ κέντρον τᾶ βάρϒς ἐπὶ τᾶς ἐϖ' ἀϑείας τᾶς ΧΡ, τὸν αὐτὸν ποτὶ αὐτὰς λόγον ἐχούσας, ὃν ἔχει ὁ τομεὺς ϖοτὶ τὸ λοιπὸν τμᾶμα. Ἔϛι δὲ τὸ Ι σαμεῖον. Ἐπεὶ γὰ τᾶς μὲν ΖΒ τρία πέμπτα ἐσὶν ἀ ΒΡ, τᾶς δὲ ΗΒ τρία ϖέμπτα ἐσὶν ἀ ΒΧ· καὶ λοιπᾶς ἄρα τᾶς ΗΖ τρία ϖέμπτα ἐσὶν ἀ ΧΡ. Ἐπεὶ ὧν ἐσιν, ὡς μὲν ὁ ΑΔΕΓ τομεὺς ϖοτὶ τὸ ΔΒΕ τμᾶμα, ἄτως ἀ ΜΤ ϖοτὶ ΝΤ. Ὡς δὲ ἀ ΜΤ ϖοτὶ τὰν ΝΤ, ἄτως τὰ τρία πέμπτα [z] τᾶς ΗΖ, ἅ τίς ἐσιν ἀ ΧΡ ϖοτὶ ΡΙ· ἔϛαι ἄρα καὶ ὡς ὁ ΑΔΕΓ τομεὺς ϖοτὶ τὸ ΔΒΕ τμᾶμα, ἄτως ἀ ΧΡ [a] ϖοτὶ ΡΙ. Καί ἐσι μὲν τᾶ ὅλα τμάματος κέντρον τᾶ βάρϒς τὸ Ρ σαμεῖον, τᾶ δὲ ΔΒΕ κέντρον βάρϒς τὸ Χ. Φανερὸν ὧν, ὅτι [b] καὶ τᾶ ΑΔΕΓ τομέως τὸ κέντρον τᾶ βάρϒς τὸ Ι σαμεῖον.

tum ex tripla ipſius ΝΤ. Quoniam igitur quatuor ſunt rectæ lineæ continuo proportionales ΜΝΞ, ΟΝΤ, et ut ΝΤ quidem ad ΤΜ, ita ſe habet ſumpta quædam ΡΙ ad tres quintas partes ipſius ΖΗ, hoc eſt ΜΟ; ut autem recta compoſita tum ex dupla ipſius ΝΜ, tum ex quadrupla ipſius ΝΞ, tum ex ſexcupla ipſius ΝΟ, tum ex tripla ipſius ΝΤ, ad rectam compoſitam tum ex quincupla utriuſque ΜΝΤ, tum ex decupla utriuſque ΞΝΟ, ita ſe habet ſumpta alia quædam ΙΖ ad ΖΗ, hoc eſt ad ΜΟ, ideo erit ΡΖ ex iis, quæ ſupra demonſtrata ſunt, duæ quintæ partes ipſius ΜΝ, hoc eſt ΖΒ. Quare ſegmenti ΑΒΓ centrum gravitatis eſt punctum Ρ. Sit modo ſegmenti ΔΒΕ centrum gravitatis punctum Χ. Itaque ſegmenti ΑΔΕΓ centrum gravitatis erit in recta linea ipſi ΧΡ in directo poſita, ad quam ΧΡ eamdem rationem habeat, quam ſegmentum ΑΔΕΓ ad reliquum ſegmentum. Hoc autem eſt punctum Ι. Quoniam enim ipſius quidem ΖΒ tres quintæ partes eſt ΒΡ, ipſius vero ΗΒ tres quintæ partes ΒΧ; ideo reliquæ etiam ΗΖ tres quintæ partes eſt ΧΡ. Et quoniam ut ſegmentum quidem ΑΔΕΓ ad ſegmentum ΔΒΕ, ita ſe habet ΜΤ ad ΝΤ. Ut vero ΜΤ ad ΝΤ, ita ſe habent tres quintæ partes ipſius ΗΖ, quæ ipſa eſt ΧΡ, ad ΡΙ; ideo etiam ut ſegmentum ΑΔΕΓ, ad ſegmentum ΔΒΕ, ita ſe habebit ΧΡ ad ΡΙ. Ac totius quidem ſegmenti centrum gravitatis eſt punctum Ρ; ſegmenti vero ΔΒΕ punctum Χ. Manifeſtum igitur eſt, ſegmenti etiam ΑΔΕΓ centrum gravitatis eſſe punctum Ι.

EUTOCIUS.

Φανερὸν δή, ὅτι καὶ τᾶ ΑΔΕΓ τόμῳ διάμετρός ἐσιν ἀ ΖΗ. Ἐπεὶ γὰ ὑποκειται ἡ ΖΒ διάμετρος τᾶ τμήματος, καὶ αἱ ΑΓ, ΔΕ διχοτομόμεναι ὑπ' αὐτᾶς, κατὰ τὰ Ζ, Η, ϖαράλληλοί εἰσιν τᾷ κατὰ τὸ Β ἐφαπτομένᾳ τᾶς τομᾶς. Καὶ δῆλον ὅτι καὶ ϖᾶσαι αἱ ὁμοίως αὐταῖς ἀγόμεναι ϖαράλληλοι, εἴτε μεταξὺ αὐτῶν, εἴτε μεταξὺ τᾶ ΔΕ, καὶ τᾶ Β κορυφᾶς, δίχα τμαϑήσονται [c] ὑπὸ τᾶ ΒΖ. Καὶ διὰ τοῦτο φησὶ, διάμετρον εἶναι τᾶ τόμῳ τῷ ΖΗ. Ἀλλ' ὡς μὲν ὁ ἀπὸ ΑΖ κύβος ϖρὸς τὸν ἀπὸ ΔΗ κύβον, ἄτως τὸ ΑΒΓ τμᾶμα ϖρὸς τὸ ΔΒΕ τμᾶμα. Ἐπεὶ γὰρ δέδεικται ὑφ' αὐτᾶ, ὅτι τὸ ΑΒΓ τμῆμα τοῦ ΑΒΓ τριγώνϒ ἐσὶν ἐπίτριτον, καὶ τὸ ΔΕΒ τμῆμα τᾶ ΔΕΒ τριγώνϒ, ἐσὶν ὡς τὸ ΑΒΓ τμῆμα ϖρὸς τὸ ΑΒΓ τρίγωνον, ἄτως τὸ ΔΕΒ τμῆμα ϖρὸς τὸ [d] ΔΕΒ τρίγωνον. Καὶ ἐναλλὰξ, ὡς τὸ τμῆμα ϖρὸς τὸ τμῆμα, τὸ τρίγωνον ϖρὸς τὸ τρίγωνον. Ὥϛε καὶ τὰ ἥμισυ αὐτῶν, ὡς τὸ ΑΒΓ τμῆμα ϖρὸς τὸ ΔΕΒ τμῆμα, ἄτως

Manifeſtum utique eſt, ſegmenti etiam ΑΔΕΓ diametrum eſſe, ΖΗ. Quoniam enim ponitur, ΖΒ ſegmenti diametrum eſſe, ideo ΑΓ, ΔΕ ſectæ ab eadem in duas æquas partes in punctis Ζ, Η parallelæ ſunt rectæ, quæ in puncto Β ſectionem contingit. Conſtat autem et rectas omnes, quæ ductæ pariter fuerint, ſive ducantur inter ipſas, ſive inter ΔΕ, et verticem Β, a ΒΖ in duas æquas partes ſectum iri. Propterea dicit, ΖΗ ſegmenti diametrum eſſe. Sed et cubus quidem, qui ab ΑΖ deſcribitur, ad cubum, qui deſcribitur a ΔΗ, ita ſe habet ſegmentum ΑΒΓ ad ſegmentum ΔΒΕ. Quoniam enim demonſtratum ab ipſo eſt, ſegmentum ΑΒΓ ſeſquialterum eſſe trianguli ΑΒΓ; et ſegmentum ΔΕΒ ſeſquitertium trianguli ΔΕΒ; ideo ut ſegmentum ΑΒΓ ad triangulum ΑΒΓ, ita ſe habet ſegmentum ΔΕΒ ad triangulum ΔΕΒ. Et permutando, ut ſegmentum ad ſegmentum, ita triangulum ad triangulum. Quare etiam ut ſegmentum ΑΒΓ ad ſegmentum ΔΕΒ, ita, quæ triangulorum dimidia ſunt triangulum ΑΖΒ ad triangu-

[y] τᾶς ΝΘ [z] τᾶς ΝΖ [a] ποτὶ τοῦ βάρϒς τὸ Ρ [b] καὶ τᾶ ΑΒΕΓ τομέως [c] ὑπὸ τᾶς ΒΘΗ [d] ΑΕΒ

Digitized by Google

lum ΔHB. Itaque ſi deſcribantur parallelogramma triangulorum dupla, æquiangula invicem erunt; quod ΔH, AZ parallelæ ſint: et rationem habebunt, quæ ex laterum ratione componitur; hoc eſt ipſius AZ ad ΔH, et ipſius BZ ad BH. Eadem autem ratio eſt triangulorum atque ſegmentorum. Igitur ſegmentum ad ſegmentum rationem habet, quæ ex ratione componitur cum ipſius AZ ad ΔH, tum ipſius ZB ad BH. Ratio autem ipſius ZB ad BH eadem eſt quæ quadrati, quod ab AZ deſcribitur, ad quadratum, quod deſcribitur a ΔH. Igitur ratio ſegmenti ad ſegmentum componitur ex ratione cum quadrati, quod ab AZ deſcribitur, ad quadratum, quod deſcribitur a ΔH, tum ipſius AZ ad ΔH. At vero cubus, qui ab AZ deſcribitur, ad cubum, qui deſcribitur a ΔH, ex iiſdem rationibus componitur, ut in Scholiis ad librum de ſphæra et cylindro demonſtratum eſt. Igitur ut ſegmentum ad ſegmentum, ita ſe habet cubus, qui ab AZ deſcribitur, ad cubum, qui deſcribitur a ΔH. Et quoniam ſolidum baſim quidem habens quadratum, quod ab AZ deſcribitur, altitudinem vero rectam compoſitam tum ex dupla ipſius ΔH, tum ex AZ, ad cubum, qui deſcribitur ab AZ, eam rationem habet, quam dupla ipſius ΔH, una cum AZ ad ZA. Cum enim conſtituantur ſuper iiſdem baſibus, ſe invicem habent ut altitudines. Ut autem ΔH ad AZ, ita ſe habet ΞN ad NM. Et ut dupla ipſius ΔH ad AZ, ita dupla ipſius ΞN ad NM. Et componendo, ut dupla ipſius NΞ, una cum NM, ad NM, ita dupla ipſius ΔH, una cum AZ, ad AZ. Demonſtratum autem eſt, ut cubus, qui ab AZ deſcribitur, ad cubum, qui deſcribitur a ΔE, ita ſe habere cubum, qui a MN deſcribitur, ad cubum, qui deſcribitur a NΞ, et MN ad NT: nam MN, NΞ, NO, NT quatuor ſunt rectæ invicem proportionales. Et ut prima ad quartam, ita ſe habet ſolidum, quod a prima ad ſolidum, quod a ſecunda ſimile ſimilique modo deſcribitur. Ut vero cubus, qui deſcribitur a ΔH, ad ſolidum baſim quidem habens quadratum, quod a ΔH deſcribitur, altitudinem vero rectam compoſitam cum ex dupla ipſius AZ, tum ex ΔH, ita ſe habet ΔH, ad rectam compoſitam cum ex dupla ipſius AZ, tum ex ΔH. Rurſus enim ſe invicem habent ut altitudines. Ut autem ΔH ad duplam ipſius AZ, una cum ΔH, ita ſe habet TN ad rectam compoſitam cum ex dupla ipſius ON, tum ex NT. Ut enim AZ ad ΔH, ita ſe habet MN ad NΞ, et ON ad NT: et invertendo, ut ΔH ad AZ, ita TN ad NO: et ut ΔH ad duplam ipſius AZ, una cum ΔH, ita TN ad duplam ipſius NO, una cum TN. Propterea quatuor ſunt magnitudines deinceps poſitæ: quarum prima ſolidum baſim quidem habens quadratum, quod ab AZ deſcribitur, altitudinem vero rectam compoſitam cum ex dupla ipſius ΔH, tum ex AZ; ſecunda, cubus, qui deſcribitur ab AZ; tertia, cubus, qui deſcribitur a ΔH; quarta ſolidum baſim quidem habens quadratum, quod a ΔH deſcribitur, altitudinem vero rectam compoſitam cum ex dupla ipſius AZ, tum ex ΔH. Sunt autem et aliæ quædam rectæ hiſce magnitudinibus binæ binis proportionales: atque harum prima recta compo-

τὸ AZB τείγωνον πρὸς τὸ ΔHB τρίγωνον. Ὥστε καὶ ἐὰν ἀναγράψωμεν τὰ παραλληλογράμματα διπλάσια τῶν τριγώνων, ἔσται ἰσογώνια, ἀλλὰ τὸ παραλλήλους εἶναι [c]τὰς ΔH, AZ· ὥστε καὶ λόγον ἕξει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν, τῆς AZ πρὸς ΔH, καὶ τῆς BZ πρὸς BH. Ὁ αὐτὸς [*]δὲ λόγος ἐστὶ τῶν τριγώνων καὶ τῶν τμημάτων. Τὸ ἄρα τμῆμα πρὸς τὸ τμῆμα λόγον ἔχει, τὸν συγκείμενον ἐκ τε τῆς AZ πρὸς ΔH, καὶ τοῦ τῆς ZB πρὸς BH. [†]Ὁ δὲ τῆς ZB πρὸς BH λόγος, ὁ αὐτός ἐστι τῷ τὸ ἀπὸ AZ πρὸς τὸ ἀπὸ ΔH τετράγωνον. Ὁ ἄρα τῆ τμήματος πρὸς τὸ τμῆμα λόγος σύγκειται ἐκ τῆ ἀπὸ AZ πρὸς τὸ ὑπὸ ΔH τετράγωνον, καὶ τῆ τῆς AZ πρὸς ΔH. Σύγκειται δὲ καὶ ὁ τοῦ ἀπὸ AZ κύβε πρὸς τὸν ἀπὸ ΔH κύβον λόγος ἐκ τῶν αὐτῶν, ὡς δέδεικται ἐν τοῖς Σχολίοις τῆ περὶ σφαίρας καὶ κυλίνδρε. Ἔστιν ἄρα ὡς τὸ τμῆμα πρὸς τὸ τμῆμα, οὕτως ὁ ἀπὸ AZ κύβος πρὸς τὸν ὑπὸ ΔH κύβον. Καὶ ἐπεὶ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ τῆς AZ τετράγωνον, ὕψος δὲ τὰν συγκειμέναν ἔκ τε τᾶς β' τᾶς ΔH, καὶ τᾶς AZ, πρὸς τὸν ἀπὸ AZ κύβον, λόγον ἔχει ὃν, ἡ β' τᾶς ΔH μετὰ τᾶς AZ ποτὶ ZA. Ἐπὶ γὰρ τῶν αὐτῶν βάσεων ὄντα, πρὸς ἄλληλά ἐσιν, ὡς τὰ ὕψη. Ἔστι δὴ καὶ ὡς ἡ ΔH πρὸς AZ, ἡ ΞN πρὸς NM. Καὶ ὡς ἡ β' τῆς ΔH πρὸς AZ, ἡ β' τῆς ΞN πρὸς NM. Καὶ συνθέντι, ὡς ἡ β' τῆς NΞ [f]μετὰ τῆς NM πρὸς NM, ἡ β' τῆς ΔH μετὰ τῆς AZ πρὸς AZ. Ἐδείχθη δὲ καὶ ὡς ὁ ὑπὸ AZ κύβος πρὸς τὸν ἀπὸ ΔE κύβον, [g]οὕτως ὅτε ὑπὸ MN κύβος πρὸς τὸν ὑπὸ NΞ κύβον, καὶ ἡ MN πρὸς NT· αἱ γὰρ MN, NΞ, NO, NT τέσσαρές εἰσιν ἀνάλογον. Καὶ ὡς ἡ πρώτη πρὸς τὴν τετάρτην, οὕτως τὸ ἀπὸ τῆς πρώτης [h]στερεὸν πρὸς τὸ ἀπὸ τῆς δευτέρας ὅμοιον, καὶ ὁμοίως ἀναγεγραμμένον. Ὡς δὲ ὁ ὑπὸ ΔH κύβος ποτὶ τὸ στερεὸν, τὸ βάσιν μὲν ἔχον τὸ ὑπὸ ΔH τετράγωνον, ὕψος δὲ τὰν συγκειμέναν εὐθεῖαν ἔκ τε τᾶς β' τᾶς AZ, καὶ τᾶς ΔH, [i]οὕτως ἡ ΔH ποτὶ τὰν συγκειμέναν ἔκ τᾶς β' τᾶς AZ, καὶ τᾶς ΔH. Πάλιν γὰρ πρὸς ἄλληλά ἐσιν ὡς τὰ ὕψη. Ὡς δὲ ἡ ΔH πρὸς τὴν β' τῆς AZ, μετὰ τῆς ΔH, οὕτως ἡ TN πρὸς τὴν συγκειμένην ἔκ τε τῆς β' τῆς ON, καὶ τῆς TN. Ἔστι γὰρ ὡς ἡ AZ πρὸς ΔH, ἡ MN πρὸς NΞ, καὶ ἡ ON πρὸς NT· καὶ ἀνάπαλιν, ὡς ἡ ΔH πρὸς AZ, ἡ TN πρὸς NO· καὶ ὡς ἡ ΔH πρὸς τὴν β' τ̃ AZ, μετὰ τῆς ΔH, οὕτως ἡ TN πρὸς τὴν β' τ̃ NO, μετὰ τ̃ TN. Γέγονεν ἦν τέσσαρα μεγέθη ἑξῆς ἀλλήλων κείμενα· πρῶτον, τὸ στερεὸν τὸ βάσιν ἔχον τὸ ὑπὸ AZ τετράγωνον, ὕψος δὲ τὴν συγκειμένην ἔκ τ̃ β' τ̃ ΔH, καὶ τ̃ AZ· [k]δεύτερον ὁ ἀπὸ τῆς AZ κύβος· καὶ τρίτον, ὁ ὑπὸ τῆς ΔH κύβος· καὶ τέταρτον, τὸ στερεὸν, τὸ βάσιν ἔχον τὸ ὑπὸ τ̃ ΔH τετράγωνον, ὕψος δὲ τὴν συγκειμένην ἔκ τε τ̃ β' τῆς AZ, καὶ τῆς ΔH. Καὶ ἄλλαι τινὲς εὐθεῖαι ἐν τῷ αὐτῷ λόγῳ σὺν δύο λαμβανόμεναι,

[c] ΛH [f] μετὰ τῆς NM· ἡ β' τῆς ΔH μετὰ τῆς AZ ἐδείχθη. [g] ὕτως ὁ ἀπο ΛN [h] στερεὸν· ὡς δὲ [i] οὕτως ἀ ΔH, hæc et ſequentia uſque ad πάλιν deſunt. [k] τὸ δεύτερον

[*] Forte δὴ [†] Forte ὁ δὴ

Digitized by Google

ἥ τε συγκειμένη ἐκ τῆς β′ τῆς ΝΞ, καὶ μόνης τῆς ΜΝ, καὶ δευτέρα ἡ ΜΝ, καὶ τρίτη ἡ ΝΤ, ἡ δὲ τετάρτη ἡ συγκειμένη ἐκ τῆς β′ τῆς ΟΝ, καὶ τῆς ΝΤ. Δι' ἴσου ἄρα γενήσεται, ὡς τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ ΑΖ τετράγωνον, ὕψος δὲ τὴν συγκειμένην ἐκ τῆς διπλῆς τῆς ΔΗ, καὶ τῆς ΑΖ μόνης, πρὸς τὸ στερεόν, τὸ βάσιν ἔχον τὸ ἀπὸ ΔΗ τετράγωνον, [l]ὕψος τὴν συγκειμένην ἐκ τῆς β′ τῆς ΑΖ, καὶ μόνης τῆς ΔΗ, [m]οὕτως συγκειμένη ἐκ τῆς β′ τῆς ΞΝ, καὶ μόνης τῆς ΜΝ, πρὸς τὴν συγκειμένην ἐκ τῆς β′ τῆς ΝΟ, καὶ μόνης τῆς ΝΤ. Ἀλλ' ὡς τὰ εἰρημένα στερεὰ πρὸς ἄλληλα, οὕτως ἐδείχθη ἡ ΘΙ πρὸς ΙΚ. Καὶ ὡς ἄρα ἡ ΘΙ πρὸς ΙΚ, οὕτως ἡ συγκειμένη ἐκ τῆς β′ τῆς ΞΝ, καὶ μόνης τῆς ΜΝ, πρὸς τὴν β′ τῆς ΟΝ, καὶ μόνης τῆς ΝΤ. Καὶ συνθέντι, ὡς ἡ ΘΚ πρὸς ΚΙ, οὕτως ἡ συγκειμένη ἐκ συναμφοτέρων τῆς ΜΝΤ, καὶ τῆς β′ συναμφοτέρων τῆς ΞΝΟ, πρὸς τὴν συγκειμένην ἐκ τῆς β′ τῆς ΟΝ, καὶ μόνης τῆς ΝΤ. Καὶ τῶν ἡγεμένων τὰ ε′, ὡς ἡ ΗΖ πρὸς ΚΙ, οὕτως [n]ἡ ε′ συναμφοτέρων τῆς ΜΝΤ, καὶ ι′ συναμφοτέρων τῆς ΞΝΟ, πρὸς τὴν συγκειμένην ἐκ τῆς β′ τῆς ΝΟ, καὶ μόνης τῆς ΝΤ. Καὶ ὡς ἄρα ἡ ΖΗ, ΖΚ [o]ὅταν αὐτῆς δύο πέμπτα· ἑκατέρα γὰρ τῶν ΗΘ, ΖΚ δύο πεμπημοιριά ἐστι τῆς ΗΖ, ἐπειδὴ τὸ μέσον πεμπημόριον ἡ ΘΚ τέτμηται· οὕτως ἡ συγκειμένη ἐκ τῆς ε′ συναμφοτέρων τῆς ΜΝΤ, καὶ ι′ συναμφοτέρων τῆς ΞΝΟ, πρὸς τὴν β′ συναμφοτέρων τῆς ΜΝΤ, καὶ δ′ συναμφοτέρων τῆς ΞΝΟ. Καὶ γὰρ τὰ β′ τῶν ε′, καὶ τὰ δ′ τῶν ι′ δύο πεμπημόριά ἐστιν. Ἐπεὶ οὖν ἐδείχθη, ὡς ἡ ΖΗ πρὸς ΙΚ, οὕτως ἡ ε′ συναμφοτέρων τῆς ΜΝΤ, καὶ ι′ τῆς ΞΝΟ, πρὸς τὴν β′ τῆς ΜΝΤ, καὶ δ′ τῆς ΞΝΟ· ἔστιν ὡς ἡγούμενον πρὸς τὰ δύο ἑπόμενα, οὕτως ἡγούμενον πρὸς τὰ δύο ἑπόμενα, ὡς ἡ ΖΗ πρὸς ΖΙ, οὕτως ἡ συγκειμένη [p]ἐκ τῆς ε′ συναμφοτέρων τῆς ΜΝΤ, καὶ ι′ συναμφοτέρων τῆς ΞΝΟ, πρὸς τὴν συγκειμένην [q]ἐκ τῆς β′ τῆς ΟΝ, καὶ μόνης τῆς ΝΤ, καὶ τῆς β′ συναμφοτέρων τῆς ΜΝΤ, καὶ δ′ τῆς ΞΝΟ· ἥ ἐστιν ἴση τῇ συγκειμένῃ ἐκ τῆς β′ τῆς ΜΝ, καὶ δ′ τῆς ΝΞ, καὶ ς′ τῆς ΝΟ, καὶ γ′ τῆς ΝΤ· οὕτως γὰρ εἴλεπται καὶ ἀνωτέρω. Ἐπεὶ οὖν τέσσαρες εὐθεῖαι ἐξῆς ἀνάλογόν εἰσιν [r]αἱ ΜΝ, ΝΞ, ΟΝ, ΝΤ, καί ἐστιν ὡς μὲν ἡ ΝΤ πρὸς ΤΜ, οὕτως εἰλημένη τις ἡ ΡΙ πρὸς τὴν ΖΘ, τουτέστι πρὸς τὰ τρία πέμπτα τῆς ΗΖ, τουτέστι τῆς [s]ΜΟ, καὶ δεδειγμέναι εἰσὶν αἱ ἐν τῷ ῥητῷ ἀναλογίαι· ἔστιν ἄρα διὰ τὸ προειρημένον ἡ ΡΖ δύο πέμπτα τῆς ΜΝ, τουτέστι τῆς ΖΒ. Τρία ἄρα πέμπτα ἐστὶν ἡ ΒΡ τῆς ΒΖ. Ἡ ΒΡ ἄρα πρὸς ΡΖ λόγον ἔχει, ὃν πέντε πρὸς δύο. Ὥστε κέντρον βάρους ἐστὶ, τοῦ ΑΒΓ τμήματος τὸ Ρ σημεῖον. Ἐὰν δὴ λάβωμεν τὸ τοῦ [t]ΔΒΕ τμήματος, τὸ Χ, [u]τρία πέμπτα ἔσται ἡ ΒΧ τῆς ΒΗ. Γέγονεν οὖν ὡς ὅλη ἡ ΖΒ πρὸς ὅλην τὴν ΒΡ, οὕτως ἀφαιρεθεῖσα ἡ ΒΗ πρὸς ἀφαιρεθεῖσαν τὴν ΒΧ. Ἑκατέρα γὰρ αὐτῶν πρὸς ἑκατέραν λόγον ἔχει, ὃν πέντε πρὸς τρία. Καὶ ἡ λοιπὴ ἄρα ἡ ΖΗ πρὸς λοιπὴν [w]τὴν ΧΡ λόγον ἔχει, ὃν πέντε πρὸς τρία. Ἐπεὶ οὖν ὑπόκειται, ὡς ὁ ΑΔΕΓ τομεὺς

sita cum ex dupla ipsius NΞ, tum ex MN; secunda, MN; tertia, NT; quarta, recta composita cum ex dupla ipsius ON, tum ex NT. Igitur, æqua proportione, ut solidum basim quidem habens quadratum, quod ab AZ describitur, altitudinem vero rectam compositam cum ex dupla ipsius ΔH, tum ex AZ, ad solidum basim quidem habens quadratum, quod describitur a ΔH, altitudinem vero rectam compositam cum ex dupla ipsius AZ, tum ex ΔH, ita se habuerit recta composita cum ex dupla ipsius ΞN, tum ex MN, ad rectam compositam cum ex dupla ipsius NO, tum ex NT. Demonstratum autem est, ut ea quæ diximus, solida inter se invicem, ita se habere ΘI ad IK. Igitur etiam ut ΘI ad IK, ita se habet recta composita cum ex dupla ipsius NΞ, tum ex MN, ad rectam compositam cum ex dupla ipsius ON, tum ex NT. Et componendo, ut ΘK ad KI, ita recta composita cum ex utraque simul MNT, tum ex dupla utriusque simul ΞNO, ad rectam compositam tum ex dupla ipsius ON, tum ex NT. Et sumptis præcedentium quincuplicibus, ut HZ ad KI, ita recta composita cum ex quincuplici utriusque simul MNT, tum ex decupla utriusque simul ΞNO, ad rectam compositam cum ex dupla ipsius NO, tum ex NT. Ut igitur ZH ad ZK, duas quintas ejusdem partes; utraque enim HΘ, ZK idem est ac duæ quintæ partes ipsius HZ, quando media ΘK quinta pars est, ut ponitur; ita se habet recta composita cum ex quincuplici utriusque simul MNT, tum ex decupla utriusque simul ΞNO, ad rectam compositam cum ex dupla utriusque simul MNT, tum ex quadrupla utriusque simul ΞNO. Numerorum enim quinque, et decem duæ quintæ partes sunt duo, et quatuor. Quoniam igitur demonstratum est, ut ZH ad IK, ita se habere quincuplicem utriusque simul MNT, et decuplam utriusque simul ΞNO ad duplam ipsius NO, et ad NT: rursusque ut ZH ad ZK, ita quincuplicem utriusque simul MNT, et decuplam utriusque simul ΞNO ad duplam utriusque simul MNT, et quadruplam utriusque simul ΞNO; ideo ut præcedens ad bina sequentia, ita se habet præcedens ad bina sequentia; nempe ut ZH ad ZI, ita recta composita cum ex quincuplici utriusque simul MNT, tum ex decupla utriusque simul ΞNO, ad rectam compositam tum ex dupla ipsius ON, tum ex NT, tum ex dupla utriusque simul MNT, tum ex quadrupla utriusque simul ΞNO: quæ quidem æqualis est rectæ compositæ tum ex duplo ipsius MN, tum ex quadrupla ipsius NΞ, tum ex sexcupla ipsius NO, tum ex tripla ipsius NT; utpote quæ etiam supra hujusmodi sumpta est. Quoniam igitur quatuor sunt rectæ lineæ deinceps proportionales MN, NΞ, ON, NT; et ut NT ad TM ita se habet sumpta quædam PI ad ZΘ, hoc est ad tres quintas partes ipsius HZ, id est MO; atque huic proportioni ea accedit, quam modo attulimus; ideo PZ propter ea, quæ supra diximus, idem erit ac duæ quintæ partes ipsius MN, hoc est ZB. Itaque BP idem est ac tres duæ quintæ partes ipsius BZ. Ideoque BP ad PZ eamdem rationem habet, quam quinque ad duo. Quare segmenti ABΓ centrum gravitatis est punctum P. Si itaque sumatur centrum gravitatis segmenti ΔBE, nempe punctum X; idem erit BX ac tres quintæ partes ipsius BH. Ut igitur tota ZB ad totam BP, ita se habuerit ablata illius pars BH ad ablatam hujus partem BX. Utraque enim ad utramque eamdem rationem habet, quam quinque ad tria. Igitur reliqua etiam ZH ad reliquam XP eamdem habet rationem, quam quinque ad tria. Et quoniam ponitur, ut segmentum quidem AΔEΓ ad

[l] ὕψος δὲ [m] οὕτως ἡ συγκειμένη [n] ἡ Η [o] διὸ πέμπτα [p] In MS. hiatus est usque ad literam q.
[r] αἱ ΜΝ, ΖΟΝΤ [s] ΜΘ [t] ΑΒΕ [u] τριὰ πέμπτα [w] τὴν ΧΕΡ λόγον ἕξει

Digitized by Google

segmentum ΔBE, ita se habere MT ad NT; ut vero MT ad TN, ita tres quintas partes ipsius HZ, hoc est ZΘ, vel XP, ad PI; ideo etiam ut segmentum ad segmentum, ita se habebit XP ad PI. At vero reciprocantur: et totius segmenti centrum gravitatis est punctum P. Centum igitur gravitatis segmenti AΔEΓ est punctum I.

πρὸς τὸ ΔBE τμῆμα, ἔστως ἡ MT πρὸς NT· ὡς δὲ ἡ MT πρὸς TN, οὕτως τὰ τρία πέμπτα τῆς HZ, τουτέστιν ἡ ZΘ, ἤτοι ἡ XP, πρὸς PI· ἔσται ἄρα καὶ ὡς ὁ τομεὺς πρὸς τὸ τμῆμα, ἡ XP πρὸς PI. Καὶ ἀνπεπόνθασιν· [x] καί ἐστι τὸ P κέντρον τοῦ ὅλου τμήματος. Τοῦ ἄρα τόμεως κέντρον ἐστὶ τὸ I.

[x] ὅπερ τὸ P

Digitized by Google

ΑΡΧΙΜΗΔΟΥΣ

ΠΕΡΙ ΣΦΑΙΡΑΣ

ΚΑΙ ΚΥΛΙΝΔΡΟΥ

ΒΙΒΛΙΑ ΔΥΟ,

ΜΕΤΑ ΤΩΝ

ΕΥΤΟΚΙΟΥ ΑΣΚΑΛΩΝΙΤΟΥ ΥΠΟΜΝΗΜΑΤΩΝ.

ARCHIMEDIS

DE SPHÆRA

ET CYLINDRO

LIBRI DUO,

CUM

COMMENTARIIS EUTOCII ASCALONITÆ.

Digitized by Google

Digitized by Google

ΑΡΧΙΜΗΔΟΥΣ

ΠΕΡΙ ΣΦΑΙΡΑΣ ΚΑΙ ΚΥΛΙΝΔΡΟΥ

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ,

ΜΕΤΑ ΤΩΝ ΕΥΤΟΚΙΟΥ ΑΣΚΑΛΩΝΙΤΟΥ ΥΠΟΜΝΗΜΑΤΩΝ.

ARCHIMEDIS

DE SPHÆRA ET CYLINDRO

LIBER PRIMUS,

CUM COMMENTARIIS EUTOCII ASCALONITÆ.

ΑΡΧΙΜΗΔΗΣ ΔΟΣΙΘΕΩ ΧΑΙΡΕΙΝ.

Πρότερον μὲν ἀπεστάλκαμέν σοι τὰ ὑφ' ἡμῶν ἐσκεμμένα, γράψαντες αὐτῶν ἀποδείξεις· ὡς ὅτι παντὸς τμήματος τὸ περιεχόμενον ὑπό τε εὐθείας καὶ ὀρθογωνίου κώνου τομῆς, ἡμιτρίτων ἐστὶ τριγώνου τοῦ ἔχοντος βάσιν τὴν αὐτὴν τῷ τμήματι, καὶ ὕψος ἴσον. Νῦν δὲ τινῶν περισταόντων θεωρημάτων πεπραγματεύμεθα τὰς ἀποδείξεις, ἃ ἐντι τοιαῦτα. Πρῶτον μὲν, ὅτι σφαίρας ἡ ἐπιφανεία τετραπλασία ἐστὶ τοῦ μεγίστου κύκλου τῶν ἐν αὐτῇ. Δεύτερον δὲ, ὅτι παντὸς τμήματος σφαίρας τῇ ἐπιφανείᾳ ἴσος ἐστὶ κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ εὐθείᾳ τῇ ἀπὸ τῆς κορυφῆς τοῦ τμήματος ἀγομένῃ ἐπὶ τὴν περιφέρειαν τοῦ κύκλου, ὃς ἐστι βάσις τοῦ τμήματος. Πρὸς δὲ τούτοις, ὅτι παντὸς σφαίρας ὁ κύλινδρος ὁ βάσιν μὲν ἔχων τὴν αὐτὴν τῷ μεγίστῳ κύκλῳ τῶν ἐν τῇ σφαίρᾳ, ὕψος δὲ ἴσον τῇ διαμέτρῳ τῆς σφαίρας, αὐτός τε ἡμιόλιός ἐστι τῆς σφαίρας· καὶ ἡ ἐπιφάνεια αὐτοῦ τῆς ἐπιφανείας τῆς σφαίρας ἡμιολία. Ταῦτα μὲν τῇ φύσει ὑπῆρχεν, περὶ τὰ εἰρημένα σχήματα· ἐπὶ μέντοι γέγονεν ὑπὸ τῶν πρὸ ἡμῶν περὶ γεωμετρίαν

ARCHIMEDES DOSITHEO SAL.

ANTEA quidem, quæ ipſi meditando aſſecuti ſumus, hæc ſuis firmata demonſtrationibus ad te miſimus; cujuſmodi eſt illud, quodlibet ſegmentum, quod ſub recta linea, et rectanguli coni ſectione continetur, ſeſquitertium eſſe trianguli, quod eamdem ac ſegmentum baſim habeat, eamdemque altitudinem. Nunc vero elaboravimus demonſtrationes quorumdam, quæ occurrerunt, theorematum, quæ ſunt hujuſmodi. Primum quidem ſphæræ ſuperficiem quadruplam eſſe circuli maximi omnium, qui ſunt in ipſa. Alterum vero, cujuſlibet ſegmenti ſphæræ ſuperficiei æqualem eſſe circulum, cujus ea, quæ ex centro, æqualis eſt rectæ lineæ, quæ a vertice ſegmenti ducitur ad circumferentiam circuli, qui eſt baſis ſegmenti. Ad hæc, cujuſlibet ſphæræ cylindrum, qui baſim quidem æqualem habeat circulo maximo omnium, qui ſunt in ſphæra, altitudinem vero ſphæræ diametro, ſeſquialterum eſſe ſphæræ: ipſius autem ſuperficiem ſphæræ ſuperficiei eſſe ſeſquialteram. Hæc quidem natura iis, quas diximus, figuris prius inerant, nec tamen ab iis

Digitized by Google

detecta ſunt, qui ante nos geometriam excoluerunt; ut quivis facile intelliget, qui quæ nos circa haſce figuras contemplanda proponimus cum ipſis demonſtrationibus contulerit. Idem de pluribus accidit, quæ Eudoxus circa ſolida contemplatus eſt, quæque recepta ſunt; cujuſmodi eſt illud, quamlibet pyramidem partem eſſe tertiam priſmatis, quod eamdem ac pyramis baſim habeat, eamdemque altitudinem: itemque illud, quemlibet conum partem eſſe tertiam cylindri, qui eamdem ac conus baſim habeat, et altitudinem eamdem. Hæc enim cum hiſce figuris natura prius ineſſent, etſi plures ante Eudoxum extiterunt haud contemnendi Geometræ, tamen contigit ab omnibus ignorari, nec a quopiam detegi. Licebit autem iis, quibus datum erit, hæc ipſa diſpicere. Oportebat ſane, Conone adhuc ſuperſtite, hæc in lucem edere. Hunc enim potiſſimum arbitramur talia cognoſcere potuiſſe, aptamque de his ſententiam pronuntiare. Optimum vero fore rati, ſi ea aliis quoque matheſeos ſtudioſis impertiremur, mittimus tibi ſuis firmata demonſtrationibus, quas licebit iis, qui in matheſi verſantur, diſpicere. Vale.

Scribuntur primo tam pronuntiata, quam quæ ſumpta ſunt ad ea demonſtranda.

PRONUNTIATA.

1. Sunt quædam in plano curvæ lineæ terminatæ, quæ vel totæ ſunt ad eaſdem partes rectarum earumdem terminos jungentium, vel nihil habent ad partes alteras.

2. Ad eaſdem vero partes cavam voco ejuſmodi lineam, in qua ſumptis utcunque duobus punctis, quæ inter puncta rectæ interjiciuntur vel omnes ad eaſdem lineæ partes cadunt, vel aliquæ quidem ad eaſdem, aliquæ vero ſecundum ipſam, ad alteras autem partes nulla.

3. Pariter et quædam ſunt ſuperficies terminatæ, quæ quidem ipſæ non ſunt in plano, ſed in plano terminos habent; eæque vel totæ ſunt ad eaſdem partes plani, in quo terminos habent, vel nihil habent ad partes alteras.

4. Ad eaſdem vero partes cavas voco ejuſmodi ſuperficies, in quibus ſumptis duobus punctis, quæ inter puncta rectæ interjiciuntur vel omnes ad eaſdem ſuperficiei partes cadunt, vel aliquæ quidem ad eaſdem, aliquæ vero ſecundum ipſas, ad alteras autem partes nulla.

5. Sectorem vero ſolidum voco, quando ſphæram conus ſecuerit verticem habens ad ſphæræ centrum, figuram, quæ a ſuperficie coni, et ſuperficie ſphæræ, quæ intra conum eſt, comprehenditur.

ἀνεσκεμμένων τεθεωρημένα· καὶ νοήσειεν ὃς ἂν τούτων τῶν σχημάτων ταῖς ἀποδείξεσιν ἀντιπαραβάλῃ αὐτὰ τὰ τεθεωρημένα. Ὥσπερ τὰ δόξαντα πολλὰ τῶν ὑπὸ τοῦ Εὐδόξου περὶ τὰ στερεὰ θεωρηθέντων· ὅσον, ὅτι πᾶσα πυραμὶς τρίτον μέρος ἐστὶ πρίσματος τὴν βάσιν ἔχοντος τὴν αὐτὴν τῇ πυραμίδι, καὶ ὕψος ἴσον· καὶ ὅτι πᾶς κῶνος τρίτον μέρος ἐστὶ τοῦ κυλίνδρου τοῦ τὴν βάσιν μὲν ἔχοντος τὴν αὐτὴν τῷ κώνῳ, καὶ ὕψος ἴσον. Καὶ γὰρ προυπαρχόντων φυσικῶς ταῖς τοιαῦτα τὰ σχήματα, πολλῶν πρὸ τοῦ Εὐδόξου γεγενημένων ἀξίων λόγου Γεωμετρῶν, συνέβαινεν ἀπὸ πάντων ἀγνοεῖσθαι, μηδ' ὑφ' ἑνὸς καταναοηθῆναι. Ἐξέσται δὲ περὶ τούτων ὑπισκέψασθαι τοῖς δυνησομένοις. Ὤφειλε μὲν ἔν, Κωνώνος ζῶντος, ἐκδιδόσθαι ταῦτα. Τήνδε γὰρ ὑπολαμβάνομεν πρὸ μάλιστα εὑρεθῆναι καταναοῆσαι ταῦτα, καὶ τὴν ἁρμόζουσαν ὑπὲρ αὐτῶν ἀποφανσιν ποιήσασθαι. Δοκιμάζοντες δὲ καλῶς ἔχειν μεταδιδόναι τοῖς ἄλλοις οἰκείοις τῶν μαθημάτων, ἀποστέλλομέν σοι τὰς ἀποδείξεις ἀναγράψαντες, ὑπὲρ ὧν ἐξέσται τοῖς περὶ τὰ μαθήματα ἀναστρεφομένοις, ὑπισκέψασθαι. Ἔρρωσο.

Γράφονται πρῶτον [a] τά τε ἀξιώματα, καὶ τὰ λαμβανόμενα εἰς τὰς ἀποδείξεις αὐτῶν.

ΑΞΙΩΜΑΤΑ.

α'. Εἴσι τινες ἐν ὑπιπέδῳ καμπύλαι γραμμαὶ πεπερασμέναι, αἱ τ τὰ πέρατα ὑπὸ ζυγυσῶν αὐτῶν εὐθειῶν, ἤτοι ὅλαι ἐπὶ τὰ αὐτά εἰσιν, ἢ οὐδὲν ἔχουσιν ἐπὶ τὰ ἕτερα.

β'. Ἐπὶ τὰ αὐτὰ δὴ κοίλην καλῶ τὴν τοιαύτην γραμμὴν, ἐν ᾗ ἂν δύο σημείων λαμβανομένων ὁπιωνοῦν, αἱ μεταξὺ τ σημείων εὐθεῖαι, ἤτοι πᾶσαι ἐπὶ τὰ αὐτὰ πίπτουσι τῆς γραμμῆς, ἢ τινες μὲν ἐπὶ τὰ αὐτὰ, τινες δὴ κατ' αὐτῆς, ἐπὶ τὰ ἕτερα δὴ μηδεμία.

γ'. Ὁμοίως δὴ καὶ ἐπιφάνειαί τινες εἰσι πεπερασμέναι, αὗται μὲν ἐκ ἐν ὑπιπέδῳ, τὰ δὴ πέρατα ἔχουσιν ἐν ὑπιπέδῳ· καὶ τοῦ ὑπιπέδου, ἐν ᾧ τὰ πέρατα ἔχουσιν, ἤτοι ὅλαι ἐπὶ τὰ αὐτὰ ἔσονται, ἢ οὐδὲν ἔχουσιν ἐπὶ τὰ ἕτερα.

δ'. Ἐπὶ τὰ αὐτὰ δὲ κοίλας καλῶ τὰς τοιαύτας ἐπιφανείας, ἐν αἷς ἂν δύο σημείων λαμβανομένων, αἱ μεταξὺ τῶν σημείων εὐθεῖαι, ἤτοι πᾶσαι ἐπὶ τὰ αὐτὰ πίπτουσι τῆς ἐπιφανείας· ἢ τινες μὲν ἐπὶ τὰ αὐτὰ, τινες δὲ καθ' αὑτῶν, ἐπὶ τὰ ἕτερα δὴ μηδεμία.

ε'. [c] Τομέα δὴ στερεὸν καλῶ, ἐπειδὰν σφαῖραν κῶνος τέμνῃ, κορυφὴν ἔχων [d] ἐπὶ τὸ κέντρον τῆς σφαίρας, τὸ ἐμπεριεχόμενον σχῆμα ὑπό τε τῆς ἐπιφανείας τοῦ κώνου, καὶ τῆς ἐπιφανείας τῆς σφαίρας ἐντὸς τοῦ κώνου.

[a] τότε ἀξίωμα [b] κοιτὰς [c] τὸ μέ - - - - - ἐπεὶ δ' ἂν [d] ἐπὶ τὸ κέντρον τᾶς σφαίρας in MS. desunt.

Digitized by Google

ς'. Ῥόμβον δὲ καλῶ στερεὸν, ἐπειδὰν δύο κῶνοι τὴν αὐτὴν βάσιν ἔχοντες τὰς κορυφὰς ἔχωσιν ἐφ' ἑκάτερα τὸ ἐπιπέδω τῆς βάσεως, ὅπως οἱ ἄξονες αὐτῶν ἐπ' εὐθείας ὦσι κείμενοι, τὸ ἐξ ἀμφοῖν τοῖν κώνοιν συγκείμενον στερεὸν σχῆμα.

Λαμβάνω δὲ ταῦτα.

6. Rhombum vero ſolidum voco, quando duo coni eamdem baſim habentes vertices habuerint ad utramque partem plani, in quo eſt baſis, ita ut eorum axes in directo jaceant, ſolidam figuram, quæ ex utriſque conis componitur.

Sumo autem hæc.

ΛΑΜΒΑΝΟΜΕΝΑ.

α'. Τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν γραμμῶν ἐλαχίστη εἶναι τὴν εὐθεῖαν.

β'. Τῶν δὲ ἄλλων γραμμῶν, ἐὰν ἐν ἐπιπέδω ὦσαι τὰ αὐτὰ πέρατα ἔχωσιν, ἀνίσους εἶναι τὰς τοιαύτας, ἐπειδὰν ὦσιν ἀμφότεραι ἐπὶ τὰ αὐτὰ κοῖλαι, καὶ ἤτοι ὅλη περιλαμβάνηται, ἡ ἑτέρα αὐτῶν ὑπὸ τῆς ἑτέρας, καὶ τῆς εὐθείας τῆς τὰ αὐτὰ πέρατα ἐχούσης αὐτῇ, ἤ τινα μὲν περιλαμβάνηται, τινὰ δὲ κοινὰ ἔχῃ, καὶ ἐλάσσονα εἶναι τὴν περιλαμβανομένην.

γ'. Ὁμοίως καὶ τῶν ἐπιφανειῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν, ἐὰν ἐν ἐπιπέδω τὰ πέρατα ἔχωσιν, ἐλάσσονα εἶναι τὴν ἐπίπεδον.

δ'. Τῶν δὲ ἄλλων ἐπιφανειῶν, καὶ τὰ αὐτὰ πέρατα ἐχουσῶν, ἐὰν ἐν ἐπιπέδω τὰ πέρατα ᾖ, ἀνίσους εἶναι τὰς τοιαύτας, ἐπειδὰν ὦσιν ἀμφότεραι ἐπὶ τὰ αὐτὰ κοῖλαι, καὶ ἤτοι ὅλη περιλαμβάνηται ὑπὸ τῆς ἑτέρας ἑτέρα ἐπιφάνεια, καὶ τῆς ἐπιπέδου τῆς τὰ αὐτὰ πέρατα ἐχούσης αὐτῇ, ἤ τινα μὲν περιλαμβάνηται, τινὰ δὲ κοινὰ ἔχῃ, καὶ ἐλάσσονα εἶναι τὴν περιλαμβανομένην.

ε'. Ἔτι δὲ τῶν ἀνίσων γραμμῶν, καὶ τῶν ἀνίσων ἐπιφανειῶν, καὶ τῶν ἀνίσων στερεῶν, τὸ μεῖζον τοῦ ἐλάσσονος ὑπερέχειν τοιούτῳ, ὃ συντιθέμενον ἑαυτὸ ἑαυτῷ δυνατόν ἐστιν ὑπερέχειν παντὸς τοῦ προτεθέντος τῶν πρὸς ἄλληλα λεγομένων.

SUMPTA.

1. Linearum, quæ eoſdem terminos habent, quæ recta eſt, eam minimam eſſe.

2. Aliarum vero linearum, ſi in plano ſint, eoſdemque terminos habeant, eas inæquales eſſe, quarum utraque ad eaſdem partes cava eſt, alteraque ab altera, et a recta, quæ eoſdem ac ipſa terminos habet, vel tota comprehenditur, vel aliqua quidem comprehenditur, cætera vero communia habet, eamque minorem eſſe, quæ comprehenditur.

3. Pariter et ſuperficierum, quæ eoſdem terminos habent, ſi in plano terminos habeant, quæ plana eſt, eam minorem eſſe.

4. Aliarum vero ſuperficierum, quæ eoſdem terminos habent, ſi in plano terminos habeant, eas inæquales eſſe, quarum utraque ad eaſdem partes cava eſt, alteraque ab altera, et a plano, quod eoſdem ac ipſa terminos habet, vel tota comprehenditur, vel aliqua quidem comprehenditur, cætera vero communia habet, eamque minorem eſſe, quæ comprehenditur.

5. Amplius vero inæqualium linearum, et inæqualium ſuperficierum, et inæqualium ſolidorum majus excedere minus eo, quod ſibimet ipſi aliquoties additum excedere poſſit quodcunque propoſitum fuerit ex iis, quæ inter ſe invicem comparantur.

EUTOCIUS.

Εἰς τὰ περὶ σφαίρας καὶ κυλίνδρου Ἀρχιμήδους ἰδόντα τῶν πρὸ ἡμῶν ἀξίαν [f] εὑρὼν πώποτε καταβεβλημένον· καὶ καταγνόντας μὴ δι' εὐμάρειαν τῶν θεωρημάτων τοῦτο παρορᾶσθαι, ἐπιτάσεως δὲ ἀκριβοῦς, ὡς ἔστι, καὶ εὐπλοκίας δεῖται φαντασίας· ἐπῆλθον κατ' ἐμὴν δύναμιν σαφῶς ἐκτεθῆναι τὰ ἐν αὐτοῖς δυσθεώρητα, πραχθεὶς μᾶλλον εἰς τοῦτο [g] τῷ μηδένα πω καθεῖναι εἰς ταὐτὸν τὴν ὑποθεσιν, ἢ διὰ τὴν δυσκολίαν ἐκνήσας, καὶ ἅμα τὸ Σωκρατικὸν λογισάμενος, [h] ὡς τοῦ Θεοῦ συλλαμβάνοντος, πᾶν εἰκὸς καὶ ἐπὶ τέλους ἡμᾶς τῆς σπουδῆς ἐλθεῖν. Ἔκδοσιν δὲ, διανοηθεὶς, ὡς εἴ τι καὶ παρὰ μέλος διὰ πεύτητα φθέγξομαι,

Cum comperiſſem neminem eorum, qui ante nos fuerunt, quidquam in Archimedis libros de ſphæra, et cylindro pro rei dignitate ſcripſiſſe; mecumque reputarem, non id ea de cauſſa factum, quod theoremata facilia eſſent, cum exquiſitam mentis intelligentiam, ut noſti, et imaginandi præſtantiam requirant; aggreſſus ſum, quæ ſubobſcura in iis ſunt, pro virili explanare, hoc ipſo, quod alius nemo huc acceſſerit, potius impulſus, quam difficultate retardatus, ſimul illud Socraticum reputans, Deo juvante, omnino conſentaneum videri, ut operæ finem aſſequamur. Hoc autem opus ad te potiſſimum inſtitui, Ammonie Philoſophorum optime; ſperans

[f] εὕρου [g] τῷ μηδένα πω καθεῖναι [h] ὥστε


Digitized by Google

fore, ut ſi quid ego per ætatem minus concinnum pronuntiavero, id tu pro tua cum in omni Philoſophia, tum præcipue in mathematicis diſciplinis peritia corrigas. Dignum vero te fuerit adnitenti mihi opem ferre. Et ſiquidem ſcriptum hoc inane videbitur, ne patiaris jam inde in aliorum manus venire. Sin vero a ſcopo non plane aberrare, quid tu de illo ſentias aperi; ut, ſi tuo judicio firmatum fuerit, coner aliud, quod ſe mihi offeret, Archimedis opus interpretari.

τοῦτο γὰρ τῆς σῆς περί τε τὴν ἄλλην φιλοσοφίαν ἐπιστημονικῆς θεωρίας, καὶ διαφερόντως περὶ τὰ μαθήματα ἐπανορθώσεως τεύξεται, ἀνέθηκά σοι κρᾶπτε φιλοσόφων Ἀμμώνιε. [l] Πρέποι δ' ἂν σοι τὰ ἐμῇ σπουδῇ [k] συμπεραθέντα. Καὶ εἰ μὲν ἀνεμιαῖον δόξῃ τὸ γράμμα, αὐτόθεν μὴ εἰς ἄλλον ἐλθεῖν συγχωρήσης. Εἰ δὲ τῷ σκοπῷ μὴ πάντη διαμαρτάνον, δήλωσον ἵνα ἔχεις περὶ αὐτοῦ γνώμην· ὡς εἴγε τῇ ὑμετέρᾳ κρίσει βεβαιωθῇ, πειράσομαι καὶ ἄλλο τυχὸν τῶν Ἀρχιμηδείων συντάξεων ἑρμηνεῦσαι.

IN DEFINITIONES.

Poſteaquam ſignificavit quæ mox expoſiturus eſſet theoremata, Geometrarum omnium morem ſecutus nomina, quibus ipſe pro arbitrio uſus eſt, et cum poſitiones ipſas, tum poſitionum definitiones in ipſo ſtatim operis ſui initio explicat. Ac primo quidem eſſe dicit curvas quaſdam lineas in plano, quæ vel totæ ſunt ad eaſdem partes rectarum earumdem terminos jungentium, vel nihil habent ad partes alteras. Quæ ſane verba manifeſta fuerint, ſi noverimus quas ipſe in plano curvas lineas vocet. Itaque noſſe oportet curvas lineas in plano ipſum vocare non circulares tantum, aut conicas, aut quæ ductu continuo deſcribuntur; ſed lineam quamlibet præter rectam, quæ in plano ſit. Porro lineam hanc, utcunque componatur, ſive ex rectis, ſive ex circularibus, et rectis, unam in plano curvam lineam vocat. Quoniam vero, ut ſupra diximus, curvas lineas non circulares tantum vocat, ſed eas quoque, quæ ex rectis componuntur, ex quibus illæ fiunt, quæ ad eaſdem partes cavæ ſunt; utique fieri poteſt, ut in cava quadam linea duo puncta utcunque ſumantur; ita ut quæ ea puncta recta conjungit, ad neutram lineæ partem cadat, ſed cum ipſam et linea conveniat. Quare cavam ad eaſdem partes vocare ſe dicit ejuſmodi lineam, in qua quæ duo quælibet puncta rectæ conjungunt, vel omnes ad eaſdem lineæ partes cadunt, vel aliquæ quidem ad eaſdem, aliquæ vero ſecundum ipſam, ad alteras autem partes nulla. Eadem hæc licet etiam de ſuperficiebus intelligere.



Deinde ſectorem, rhombumque ſolidum ordine definit, perſpicue explicans quid cujuſque nomen ſignificet.

Poſtea quædam petit, quæ ipſi ad ea, quæ ſequuntur, demonſtranda maxime neceſſaria ſunt; quæque licet, ſenſu ipſo duce, unuſquiſque vera eſſe fateatur, tamen communium notionum ope facile per ea, quæ in Elementis tradita ſunt, demonſtrari poſſunt. Atque eorum, quæ petit, hoc primum eſt: linearum omnium, quæ eoſdem terminos habent, quæ recta eſt, eam minimam eſſe. Sit enim recta quædam in plano terminata AB, et alia quædam linea AΓB, quæ puncta A et B eoſdem terminos habeat. Itaque petit hoc ſibi dari, rectam AB minorem eſſe linea AΓB. Dico autem, quod maxime verum eſt, hoc ſibi dari petiiſſe. Sumatur enim pro arbitrio in linea AΓB punctum Γ; junganturque rectæ AΓ, ΓB. Manifeſtum igitur eſt ipſas AΓ, ΓB majores eſſe quam AB. Rurſus ſumantur pro arbitrio in lineis AΓB puncta

ΕΙΣ ΤΟΥΣ ΟΡΟΥΣ.

Προειπὼν τὰ [l] μέλλοντα ἐκπίθεσθαι ὑπ' αὐτῷ θεωρήματα, [m] τῶν σωμάτων πᾶσι γεωμέτραις ἐν τῇ ἐκθέσει [n] πρῶν, τάς τε ὀνομασίας, αἷς αὐτὸς κατ' ἐξουσίαν ἐχρήσατο, καὶ τὰς ὅρους τῶν ὑποθέσεων, καὶ αὐτὰς τὰς ὑποθέσεις ἀφ' ἧς ἀρχῆς τὸ συγγράμματος διασαφῆσαι βέλεται· Καὶ φησὶν πρῶτον εἶναι τινὰς ἐν ἐπιπέδῳ καμπύλας γραμμάς, αἵ πνες τῶν ἐπιζευγνυσῶν τὰ πέρατα αὐτῶν εὐθειῶν, ἢ πᾶσαι ἐπὶ τὰ αὐτά εἰσιν, ἢ οὐδὲν ἔχουσιν ἐπὶ τὰ ἕτερα. Σαφὲς δ' ἂν εἴη τὸ λεγόμενον, εἰ γνωσώμεθά πνας καλεῖ τὰς ἐν ἐπιπέδῳ καμπύλας γραμμάς. Ἰστέον ἓν ὅτι καμπύλας γραμμὰς καλεῖ οὐχ' ἁπλῶς τὰς κυκλικὰς, ἢ κωνικὰς, ἢ ἄκλαστον ἐχούσας τὴν συνέχειαν, ἀλλὰ πᾶσαν [o] ἁπλῶς ἐν ἐπιπέδῳ γραμμὴν τὴν ἁπλατῆ τὴν εὐθεῖαν, καμπύλην ὀνομάζει. Μίαν δὲ γραμμὴν ἐν ἐπιπέδῳ τὴν ὁπωσοῦν συναπτομένην, ὡστε κἂν ἐξ εὐθειῶν σύγκειται ἤτοι ἐκπεφερειῶν, ἤτοι ἐξ εὐθειῶν καὶ περιφερῶν, καμπύλην ὀνομάζει. Ἀλλ' ἐπειδὴ, ὡς καὶ ἀνωτέρω εἴρηται, καμπύλας γραμμὰς οὐ τὰς περιφερεῖς μόνον καλεῖ, ἀλλὰ καὶ τὰς ἐξ εὐθειῶν συγκειμένας, ἐκ δὲ τούτων ἵνα ἡ ἁπλοκὴ τῶν ἐπὶ τὰ αὐτὰ κοίλων· ἐνδεχόμενον ἂν εἴη λαβεῖν ἐπί πνος ἐπὶ τὰ αὐτὰ κοίλης γραμμῆς δύο τυχόντα σημεῖα, ὥστε τὴν ἐπ' αὐτὰ ἐπιζευγνυμένην εὐθεῖαν ἐπὶ μηδέτερα μὲν μέρη πίπτειν τῆς γραμμῆς, ἐπ' αὐτῷ δὲ ἐφαρμόζειν. Διό φησιν ἐπὶ τὰ αὐτὰ κοίλων καλεῖν γραμμὴν, ἐν ᾗ αἱ ἀφ' δύο ὁποιωνῶν σημείων ἀγόμεναι εὐθεῖαι, ἤτοι πᾶσαι ἐπὶ τὰ αὐτὰ μέρη πίπτουσιν τῆς γραμμῆς, ἢ τινες μὲν ἐπὶ τὰ αὐτά, τινες δὲ κατ' αὐτῆς, ἐπὶ τὰ ἕτερα δὲ μέρη οὐδὲ μία. Τάδε αὐτὰ ἔξεσιν ὁπωσοῦν καὶ ἐπὶ ἐπιφανειῶν.


Εἶτα ἑξῆς ὀνομάζει τομέα στερεὸν, καὶ ῥόμβον στερεὸν, σαφῶς ἐμφανίζων τὴν ἔννοιαν τῶν ὀνομάτων.

Μετὰ δὲ ταῦτα αἰτήματά πνα λαμβάνειν ἀξιοῖ, χρησιμεύοντα αὐτῷ [p] εἰς τὰς ἑξῆς ἀποδείξεις, καὶ ὄντα μὲν καθ' αὐτὴν τῆς αἰσθήσεως ὁμολογημένα, οὐδὲν δὲ ἧττον δυνατὰ καὶ ἀποδειχθῆναι ἔκτε τῶν κοινῶν ἐννοιῶν, καὶ ἐκ τῶν δεδειγμένων ἐν τοῖς Στοιχείοις. Ἔστι δὲ πρῶτον [q] αἰτημάτων τὸ τοιόνδε, πασῶν τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν γραμμῶν ἐλαχίστην εἶναι τὴν εὐθεῖαν. Ἔστω γὰρ ἐν ἐπιπέδῳ εὐθεῖα μέν τις πεπερασμένη ἡ AB, ἑτέρα δέ πς γραμμὴ ἡ AΓB τὰ αὐτὰ πέρατα ἔχουσα τὰ A, B. Φησὶ δὴ δεδόσθαι αὐτῷ τὴν AB ἐλάττονα εἶναι τῆς AΓB. Λέγω δὴν, ὅτι τοῦτο ἀληθὲς ὂν ᾐτήσατο. Εἰλήφθω γὰρ ἐπὶ τῆ AΓB, τυχὸν σημεῖον τὸ Γ· καὶ ἐπεζεύχθωσαν [r] αἱ AΓ, ΓB. Φανερὸν δὴ, ὅτι αἱ AΓ, ΓB τῆς AB μείζους εἰσί. Πάλιν δὴ εἰλήφθωσαν ἐπὶ [s] ταῖς AΓB

[l] πρέποι ex MS. [k] συναρᾶσθαι [l] μέλλοντα ex MS. [m] τῶν ex MS. [n] τῆ τάς τι [o] ἁπλῶς ex MS. [p] πρὸς τὰς [q] τῶν αἰτημάτων [r] αἱ AΓ, ΓB σημεῖον τὸ Γ, καὶ ἐπεζεύχθωσαν αἱ AΓ, ΓB. Φανερὸν &c, [s] τάς AΓB γραμμῆς. ἀλλὰ τυχὸν τὰ σημεῖα τὰ Δ E.

Digitized by Google

γραμμαῖς ἄλλα τυχόντα σημεῖα τὰ Δ, Ε· καὶ ἐπιζευχθωσαν αἱ ΑΔ, ΔΓ, ΓΕ, ΕΒ. Ὁμοίως δὴ καὶ ἐνταῦθα δῆλον, ὅτι δύο μὲν αἱ ΑΔ, ΔΓ τῆς ΑΓ μείζους εἰσί· δύο δὲ αἱ ΓΕ, ΕΒ τῆς ΓΒ. Ὥστε αἱ ΑΔ, ΔΓ, ΓΕ, ΕΒ πολλῷ μείζους εἰσὶ τῆς ΑΒ. Ὁμοίως δή, καὶ ἄλλα σημεῖα λαβόντες μεταξὺ τῶν εἰλημμένων ἐπιζευξομεν ἐπὶ τὰ νῦν ληφθέντα εὐθείας, εὑρήσομεν αὐτὰς ἔτι μείζους τῆς ΑΒ. Καὶ τοῦτο συνεχῶς ποιοῦντες τὰς μᾶλλον συνεγγιζέσας τῇ ΑΓΒ γραμμῇ εὐθείας ἔτι μείζους εὑρήσομεν. Ὥστε ἐκ τούτου συμφανὲς εἶναι, αὐτῷ τῷ γραμμῷ ΑΓΒ μείζονα εἶναι τῆς ΑΒ· δυνατὸν ὄντος, κατὰ πᾶν αὐτῆς σημεῖον ἐπιζεύξαντας εὐθείας λαβεῖν ἐξ εὐθειῶν συγκειμένῳ τινὶ, οἷον αὐτῷ ἔσαν γραμμὴν, μείζονα δεικνυμένῳ ἀφ' τῶν αὐτῶν τῆς ΑΒ. Οὐ γὰ ἄποπον ἐν ταῖς τῶ ὁμολογουμένων, ἀποδείξεσι καὶ τοιαύτας ἐννοίας [t] προλαβεῖν.



Μετὰ δὴ τοῦτο φησὶν, λαμβάνειν καὶ τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν γραμμῶν ἐκείνας ἀνίσους εἶναι, τὰς ἐπὶ τὰ αὐτὰ κοίλας ἴσας, κατὰ τὸν ἀνωτέρω εἰρημένον τρόπον. Οὐ μόνον δὲ ἤρκεσεν εἰς τὸ ἀνίσους εἶναι τὸ ἐπὶ τὰ αὐτὰ κοίλας εἶναι, ἀλλὰ καὶ ὅταν ἡ ἑτέρα τινὶ ἑτέραν, ἢ ὅλην περιλαμβάνῃ, ἢ μέρος μὲν περιλαμβάνῃ, μέρος δὲ καὶ κοινὸν ἔχῃ, καὶ μείζονα εἶναι τινὶ [u] περιλαμβάνουσαν τὴν περιλαμβανομένης.


Νενοήθωσαν γὰ, πρὸς τὸ καὶ τοῦτο καθηλον γενέσθαι, ἐν ἐπιπέδῳ δύο γραμμαὶ αἱ ΑΒΓΔΕΖ, καὶ ΑΗΘΖ, τὰ αὐτὰ πέρατα ἐχουσαι [w] τὰ Α, Ζ, καὶ ἐπὶ τὰ αὐτὰ κοῖλαι· καὶ ἔτι περιλαμβανομένη ὅλη ἡ ΑΗΘΖ ὑπὸ τῆς ΑΒΓΔΕΖ γραμμῆς, καὶ τῆς τὰ αὐτὰ πέρατα ἐχούσης αὐταῖς, τῆς ΑΖ εὐθείας. Φημὶ δὴ ὅτι καὶ ἄνισοί εἰσιν αἱ προκείμεναι γραμμαὶ, καὶ μείζων ἡ περιλαμβάνουσα. Ἐπιζευχθωσαν γὰς αἱ ΒΘ, ΓΖ, ΔΖ. Ἐπεὶ οὖν ἐὰν νοηθῇ ἐπιζευγνυμένη ἡ ΘΑ, ἐπὶ μιᾶς τῶν πλευρῶν τοῦ ΑΒΘ, ἐντὸς συνίσταμεναί εἰσι αἱ ΑΗ, ΗΘ, [x] καὶ ἐλάττους εἰσὶ αἱ ΑΗ, ΗΘ τῶν ΑΒ, ΒΘ· κοινὴ προσκείσθω ἡ ΘΖ. Αἱ ἄρα ΑΗ, ΗΘ, ΘΖ ἐλάττους εἰσὶ τῶν ΑΒ, ΒΘ, ΘΖ. Ἀλλ' αἱ ΒΘ, ΘΖ ἐλάττους εἰσὶ τῆ ΒΓΖ· ἐντὸς γὰ πάλιν ἐπὶ μιᾶς τοῦ ΒΓΖ συνίστανται εἰσι. Πολλῷ ἄρα αἱ ΑΒ, ΒΓ, ΓΖ τῶν ΑΗ, ΗΘ, ΘΖ μείζους εἰσίν. Ἀλλὰ τῆς ΓΖ μείζονες αἱ ΓΔ, ΔΖ· τῆς δὲ ΔΖ, αἱ ΔΕ, ΕΖ. Ἔτι πολλῷ ἄρα αἱ ΑΒΓΔΕΖ μείζους εἰσὶ τῶν ΑΗΘΖ.

Σαφηνείας δὲ χάριν ὑπὸ κείσθωσαν καὶ ἕτεραι γραμμαὶ ὁμοίως ταῖς προειρημέναις, ὡς αἱ ΑΒΓΔΕ, ΑΖΗΘΚΕ. Λέγω ὅτι μείζων ἐστὶν ἡ περιλαμβάνουσα. Νενοήθωσαν γὰ ἐκβεβλημέναι αἱ ΑΖ, ΗΘ, ἐπὶ τὸ Λ. Ἐπεὶ οὖν πάλιν δύο αἱ ΖΛ, ΛΗ μείζους εἰσὶ τῆς ΖΗ, κοιναὶ προσκείσθωσαν αἱ ΑΖ, ΗΘ. Αἱ ἄρα ΑΛ, ΛΘ μείζους εἰσὶ τῶν ΑΖ, ΗΖ,

alia Δ, Ε; junganturque rectæ ΑΔ, ΔΓ, ΓΕ, ΕΒ. Tunc quoque pariter manifeſtum eſt, duas quidem ΑΔ, ΔΓ majores eſſe quam ΑΓ; duas vero ΓΕ, ΕΒ majores quam ΓΒ. Quare ΑΔ, ΔΓ, ΓΕ, ΕΒ multo majores ſunt quam ΑΒ. Rurſus, et ſi, punctis aliis inter prima illa ſumptis, rectæ jungantur, majores adhuc invenientur quam ΑΒ. Hoc autem ſi continuo fiat, quæ rectæ ad lineam ΑΓΒ propius accedunt, hæ majores adhuc erunt. Ex quo apparet lineam ipſam ΑΓΒ majorem eſſe quam ΑΒ; cum nimirum fieri poſſit, ut junctis ad quodlibet ejus punctum rectis, lineam quis ſumat ex rectis compoſitam, cujuſmodi ipſa eſt linea ΑΓΒ, quam eadem ratione majorem, quam ΑΒ eſſe demonſtret. Neque enim abſurdum eſt in iis, quæ in confeſſo ſunt, demonſtrandis talia concipere.

Deinde vero hoc quoque ſe petere dicit: linearum, quæ eoſdem terminos habent, eas inæquales eſſe, quæ cavæ eo, quo ſupra diximus, modo ad eaſdem partes ſunt. Neque vero hoc ſufficit; ſed, ut inæquales ſint, oportet etiam earum alteram ab altera vel totam comprehendi, vel aliqua quidem comprehendi, cætera vero communia habere. Tunc vero quæ comprehendit, hanc petit majorem eſſe, quam quæ comprehenditur.

Intelligantur enim, ut manifeſtum hoc quoque fiat, duæ eſſe lineæ in plano ΑΒΓΔΕΖ, et ΑΗΘΖ, quæ puncta Α, Ζ eoſdem terminos habeant, et ad eaſdem partes cavæ ſint: earumque altera ΑΗΘΖ ab altera ΑΒΓΔΕΖ, et a recta ΑΖ, quæ eoſdem atque ipſæ terminos habet, tota comprehendatur. Dico propoſitas lineas inæquales eſſe, eamque majorem, quæ comprehendit. Junguntur enim ΒΘ, ΓΖ, ΔΖ. Et quoniam ſi intelligatur juncta eſſe ΘΑ, ſuper unum trianguli ΑΒΘ latus intus conſtitutæ ſunt ΑΗ, ΗΘ, quæ ipſis ΑΒ, ΒΘ ſunt minores; communis addatur ΘΖ. Igitur ΑΗ, ΗΘ, ΘΖ minores ſunt quam ΑΒ, ΒΘ, ΘΖ. Minores ſunt autem ΒΘ, ΘΖ, quam ΒΓΖ; quippe quæ rurſus intus conſtitutæ ſunt ſuper unum latus trianguli ΒΓΖ. Multo igitur magis ΑΒ, ΒΓ, ΓΖ majores ſunt quam ΑΗ, ΗΘ, ΘΖ. Majores ſunt autem cum ΓΔ, ΔΖ quam ΓΖ; tum ΔΕ, ΕΖ quam ΔΖ. Igitur multo adhuc magis ΑΒΓΔΕΖ majores ſunt quam ΑΗΘΖ.




Quod ut clarius intelligatur, ponantur aliæ quoque lineæ pariter atque illæ quas modo diximus; puta ΑΒΓΔΕ, ΑΖΗΘΚΕ. Dico harum eam majorem eſſe, quæ comprehendit. Intelligantur enim ΑΖ, ΗΘ productæ eſſe ad punctum Λ. Et quoniam rurſus duæ ΖΛ, ΛΗ majores ſunt quam ΖΗ, communes addantur ΑΖ, ΗΘ. Igitur ΑΛ, ΛΘ majores ſunt quam ΑΖ, ΗΖ, ΗΘ. Minores

[t] προλαμβάνειν [u] περιλαμβάνουσαν ſic corrigitur ex MS. [w] τὰ, ſic MS. [x] In MS. καὶ deeſt.


Digitized by Google

ſunt autem AΛ, ΛΘ quam ABΘ. Multo igitur magis ABΘ majores ſunt quam AZHΘ. Communis addatur ΘK. Igitur ABΘK majores ſunt quam AZHΘK. Minores ſunt autem BΘK quam BΓK. Multo igitur magis ABΓK majores ſunt, quam AZHΘK. Communis addatur KE. Igitur ABΓKE majores ſunt quam AZHΘKE. Minores ſunt autem ΓKE quam ΓΔE. Multo igitur magis ABΓΔE majores ſunt quam AZHΘKE.



Η Θ. Ἀλλ' αἱ Α Λ, Λ Θ, ἐλάττους τῶν Α Β Θ. Πολλῷ ἄρα αἱ Α Β Θ μείζους τῶν Α Ζ Η Θ. Κοινὴ προσκείσθω ἡ Θ Κ. Μείζους ἄρα αἱ Α Β Θ Κ τῶν Α Ζ Η Θ Κ. Ἀλλ' αἱ Β Θ Κ ἐλάττους τῶν Β Γ Κ. Πολλῷ ἄρα μείζους αἱ Α Β Γ Κ τῶν Α Ζ Η Θ Κ. Κοινὴ προσκείσθω ἡ Κ Ε. Αἱ ἄρα Α Β Γ Κ Ε μείζους τῶν Α Ζ Η Θ Κ Ε. Ἀλλ' αἱ Γ Κ Ε ἐλάττους τῶν Γ Δ Ε. Πολλῷ ἄρα αἱ Α Β Γ Δ Ε μείζους εἰσὶ τῶν Α Ζ Η Θ Κ Ε.

Si enim non eſt æqualis, major ſit ſector cono: ponaturque conus Θ, qualis dictus eſt. Duæ autem cum ſint magnitudines inæquales, ſector, et conus Θ, inveniantur duæ lineæ Δ, E, quarum major ſit Δ; habeatque Δ ad E minorem rationem, quam ſector ad conum. Sumantur item duæ lineæ Z, H; ita ut Δ æque excedat Z, atque Z excedit H, et H excedit E: planoque circuli ſectori circumſcribatur polygonum æquilaterum et pariangulum, itemque aliud huic ſimile inſcribatur; ita ut circumſcripti latus ad latus inſcripti minorem rationem habeat, quam Δ ad Z. Circumacto autem, pariter ac in ſuperioribus theorematibus, circulo, duæ oriantur figuræ conicis ſuperficiebus comprehenſæ. Igitur circumſcripta figura, una cum cono, qui verticem habet punctum Γ, ad figuram inſcriptam, una cum eodem cono, rationem habet ejus triplam, quam habet circumſcripti polygoni latus ad latus polygoni inſcripti. Circumſcripti autem latus ad latus inſcripti minorem rationem habet, quam Δ ad Z. Igitur circumſcripta ſolida figura, quam diximus, ad inſcriptam rationem habebit minorem ejus tripla, quam habet Δ ad Z. Habet autem Δ ad E rationem majorem ejus tripla, quam Δ habet ad Z. Habet igitur circumſcripta ſectori ſolida figura ad figuram inſcriptam minorem rationem, quam



ΠΡΟΤΑΣΙΣ ν'.

Παντὶ τομεῖ σφαίρας, ἴσος ἐστὶ κῶνος, ὁ βάσιν μὲν ἔχων ἴσην τῇ ἐπιφανείᾳ τοῦ τμήματος τῆς σφαίρας τοῦ κατὰ τὸν τομέα, ὕψος δὲ ἴσον τῇ ἐκ τοῦ κέντρου τῆς σφαίρας.

Ἔστω σφαῖρα, ἧς ἐν αὐτῇ μέγιστος κύκλος ὁ Α Β Δ, ἧς κέντρον τὸ Γ. Καὶ κῶνος ὁ βάσιν μὲν ἔχων τὸν κύκλον, τὸν ἴσον τῇ κατὰ τὴν Α Β Δ περιφέρειαν ἐπιφανείᾳ, ὕψος δὲ ἴσον τῇ Β Γ. Δεικτέον ὅτι ὁ τομεὺς ὁ Α Β Γ Δ ἴσος ἐστὶ τῷ εἰρημένῳ κώνῳ.

Εἰ γὰρ μή, ἔστω μείζων ὁ τομεὺς τοῦ κώνου· καὶ κείσθω ὁ Θ κῶνος, οἷος εἴρηται. Δύο δὴ μεγέθων ἀνίσων ὄντων, τοῦ τομέως καὶ τοῦ Θ κώνου, εὑρήσθωσαν δύο γραμμαὶ αἱ Δ, Ε, μείζων δὲ ἡ Δ τῆς Ε, καὶ ἐλάσσονα λόγον ἐχέτω ἡ Δ πρὸς Ε, ἤπερ ὁ τομεὺς πρὸς τὸν κῶνον. Καὶ εἰλήφθωσαν δύο γραμμαὶ αἱ Ζ, Η, ὅπως τῷ ἴσῳ ὑπερέχῃ ἡ Δ τῆς Ζ, καὶ ἡ Ζ τῆς Η, καὶ ἡ Η τῆς Ε· καὶ περὶ τὸ ἐπίπεδον τομέα τοῦ κύκλου περιγεγράφθω πολύγωνον ἰσόπλευρον, καὶ ἀρτιογώνιον, καὶ τούτῳ ὅμοιον ἐγγεγράφθω, [k] ὅπως ἡ τοῦ περιγεγραμμένου πλευρὰ ἐλάσσονα λόγον ἔχει πρὸς τὴν τοῦ ἐγγεγραμμένου, ἤπερ ἔχει ἡ Δ πρὸς Ζ. Καὶ ὁμοίως τοῖς πρότερον περιενεχθέντος τοῦ κύκλου, γεγενήσθω δύο σχήματα ὑπὸ κωνικῶν ἐπιφανειῶν περιεχόμενα. Τὸ ἄρα περιγεγραμμένον, σὺν τῷ κώνῳ τῷ κορυφὴν ἔχοντι τὸ Γ σημεῖον, πρὸς τὸ ἐγγεγραμμένον σὺν τῷ κώνῳ τριπλασίονα λόγον ἔχει, ἤπερ ἔχει ἡ πλευρὰ τοῦ περιγεγραμμένου πολυγώνου πρὸς τὴν πλευρὰν τοῦ ἐγγεγραμμένου. Ἀλλὰ ἡ τοῦ περιγεγραμμένου πρὸς τὴν τοῦ ἐγγεγραμμένου ἐλάσσονα λόγον ἔχει, ἤπερ ἡ Δ πρὸς Ζ. Ἐλάσσονα λόγον ἄρα ἔχει, ἢ τριπλάσιον, τὸ εἰρημένον στερεὸν σχῆμα τοῦ Δ πρὸς Ζ. Ἡ δὲ Δ πρὸς Ε μείζονα λόγον ἔχει, ἢ τριπλάσιον τοῦ Δ πρὸς Ζ. Τὸ ἄρα περιγεγραμμένον σχῆμα στερεὸν τοῦ τομέως, πρὸς τὸ ἐγγεγραμμένον σχῆμα ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ Δ πρὸς

[k] ὅπως ex MS.

Digitized by Google

Ε. Ἡ δὲ Δ πρὸς Ε ἐλάσσονα λόγον ἔχει, ἢ ὁ σφηνοειδὴς τομεὺς πρὸς τὸν Θ κῶνον. [l] Τὸ ἄρα περιγεγραμμένον τῷ τομεῖ σχῆμα πρὸς τὸ ἐγγεγραμμένον [m] ἐλάσσονα λόγον ἔχει, ἢ ὁ σφηνοειδὴς τομεὺς πρὸς τὸν Θ κῶνον. Καὶ ἐναλλάξ. Μεῖζον δέ ἐστι τὸ περιγεγραμμένον σφηνοειδὲς σχῆμα τοῦ τμήματος. Καὶ τὸ ἐγγεγραμμένον ἄρα σχῆμα ἐν τῷ τομεῖ, μεῖζόν ἐστι τοῦ Θ κώνου. Ὅπερ ἀδύνατον. Δέδεικται γὰρ ἐν τοῖς ἄνω, ἔλασσον ὂν τοῦ τηλικούτου κώνου, τουτέστι τοῦ ἔχοντος βάσιν μὲν κύκλον, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ ἀπὸ τῆς κορυφῆς τοῦ τμήματος ἐπὶ τὴν περιφέρειαν ἐπιζευγνυμένῃ εὐθείᾳ τοῦ κύκλου, ὃς ἐστι βάσις τοῦ τμήματος· ὕψος δὲ τὴν ἐκ τοῦ κέντρου τῆς σφαίρας. Οὗτος δέ ἐστιν ὁ εἰρημένος κῶνος ὁ Θ· βάσιν τε γὰρ ἔχει κύκλον ἴσον τῇ ἐπιφανείᾳ τοῦ τμήματος, τουτέστι τῷ εἰρημένῳ κύκλῳ, καὶ ὕψος ἴσον τῇ ἐκ τοῦ κέντρου τῆς σφαίρας. Οὐκ ἄρα ὁ σφηνοειδὴς τομεὺς μείζων ἐστὶ τοῦ Θ κώνου. Ἔσω δὴ πάλιν ὁ Θ κῶνος τοῦ σφηνοειδοῦς τομέος μείζων· πάλιν δὴ ὁμοίως ἡ Δ πρὸς τὴν Ε, μείζων αὐτῆς ὅσα, ἐλάσσονα λόγον ἐχέτω, τοῦ ὃν ἔχει ὁ κῶνος πρὸς τὸν τομέα. Καὶ ὁμοίως εἰλήφθωσαν αἱ Ζ, Η, ὥστε εἶναι τὰς δύο πλευρὰς τὰς αὐτὰς· καὶ τοῦ περιγεγραμμένου περὶ τὸν ἐπίπεδον τομέα πολυγώνου ἀρτιογωνίου ἡ πλευρὰ πρὸς τὴν τοῦ ἐγγεγραμμένου, ἐλάσσονα λόγον ἐχέτω, ἢ ὃν ἔχει ἡ Δ πρὸς τὴν Ζ· καὶ γεγενήσθω τὰ περὶ τὸν σφηνοειδῆ τομέα σφηνοειδῆ σχήματα. Ὁμοίως δὴ δείξομεν, ὅτι τὸ περιγεγραμμένον περὶ τὸν τομέα σφηνοειδὲς σχῆμα πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα λόγον ἔχει, ἢ ὃν ἔχει ὁ Θ κῶνος πρὸς τὸν τομέα. Ὥστε καὶ ὁ τομεὺς πρὸς τὸν κῶνον ἐλάσσονα λόγον ἔχει, ἢπερ τὸ ἐγγεγραμμένον σφηνοειδὲς ἐν τῷ τμήματι πρὸς τὸ περιγεγραμμένον. Μεῖζων δέ ἐστιν ὁ τομεὺς τοῦ ἐγγεγραμμένου εἰς αὐτὸν σχήματος. [n] Μεῖζων ἄρα ὁ Θ κῶνος τοῦ περιγεγραμμένου σχήματος. Ὅπερ ἀδύνατον. Δέδεικται γὰρ τοῦτο, ὅτι ὁ τηλικοῦτος κῶνος ἐλάσσων ἐστὶ τοῦ περιγεγραμμένου σχήματος περὶ τὸν τομέα. Ἴσος ἄρα ὁ τομεὺς τῷ Θ κώνῳ.

Δ ad Ε. Δ autem ad Ε minorem rationem habet, quam ſolidus ſector ad conum Θ. Igitur circumſcripta ſectori ſolida figura ad figuram inſcriptam minorem habet rationem, quam ſolidus ſector ad conum Θ. Et permutando. Major eſt autem circumſcripta ſolida figura ſectore. Major eſt igitur etiam figura ſectori inſcripta cono Θ. Quod fieri non poteſt. Demonſtratum enim eſt in ſuperioribus theorematibus, cono ejuſmodi minorem eſſe; nempe illo, qui baſim quidem habeat circulum, cujus ea, quæ ex centro, æqualis eſt rectæ, quæ a vertice ſegmenti ducitur ad circumferentiam circuli, qui eſt baſis ſegmenti; altitudinem vero eam, quæ ex centro ſphæræ. Hic autem conus eſt, quem diximus Θ; quippe baſim habet circulum æqualem ſuperficiei ſegmenti; hoc eſt ei, quem diximus, circulo; et altitudinem æqualem ei, quæ ex centro ſphæræ. Non eſt igitur ſolidus ſector major cono Θ. Rurſus autem conus Θ major ſit ſolido ſectore: pariterque Δ ad Ε, cujus major eſt Δ, minorem rationem habeat, quam conus ad ſectorem. Et ſumatur pariter Ζ, Η, ita duo latera eadem ſint; et latus polygoni parianguli plano ſectori circumſcripti ad latus inſcripti minorem rationem habeat, quam Δ ad Ζ; orianturque circa ſolidum ſectorem ſolidæ figuræ. Eodem igitur modo demonſtrabimus, circumſcriptam ſolido ſectori figuram ad figuram inſcriptam minorem rationem habere, quam Δ ad Ε; et quam conus Θ ad ſectorem. Quare etiam ſector ad conum minorem habet rationem, quam inſcripta ſegmento ſolida figura ad figuram circumſcriptam. Major eſt autem ſector inſcripta eidem figura. Major eſt igitur conus Θ figura circumſcripta. Quod fieri non poteſt. Illud enim demonſtratum eſt, ejuſmodi conum figura ſectori circumſcripta minorem eſſe. Eſt igitur ſector cono Θ æqualis.

EUTOCIUS.

Τὸ ἄρα περιγεγραμμένον σφηνοειδὲς σχῆμα πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα λόγον ἔχει, ἢ ὁ σφηνοειδὴς τομεὺς πρὸς τὸν Θ κῶνον. Εἰ γὰρ τὸ περιγεγραμμένον σφηνοειδὲς πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα ἢ τριπλασίονα λόγον ἔχει τοῦ ὃν ἔχει ἡ Δ πρὸς Ζ· ἡ δὲ Δ πρὸς Ε μείζονα ἢ τριπλασίονα· τὸ ἄρα περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα λόγον ἔχει, ἢπερ ἡ Δ πρὸς

Circumſcripta igitur ſectori ſolida figura ad inſcriptam minorem rationem habet, quam ſolidus ſector ad conum Θ. Si enim circumſcripta ſolida figura ad inſcriptam minorem rationem habet ejus tripla, quam habet Δ ad Ζ; Δ vero ad Ε tripla hujus rationis majorem; circumſcripta figura ad inſcriptam minorem utique rationem habet,

[l] ἢ τὸ [m] ἐλάσσονα λόγον ἔχει ἢ ὁ σφηνοειδὴς τομεὺς πρὸς τὸν Θ κῶνον in MS. deſunt. [n] Μείζων ἄρα ὁ Θ κῶνος τοῦ περιγεγραμμένου σχήματος in MS. deſunt.

Digitized by Google

quam Δ ad E. Habet autem Δ ad E minorem rationem quam ſector ad conum. Habet igitur etiam circumſcripta figura ad inſcriptam rationem minorem, quam ſector ad conum.

Eutocii Aſcalonitæ commentarius in primum Archimedis librum de ſphæra, et cylindro, ex editione ab Iſidoro Mileſio Mechanico præceptore noſtro recognita.

E. Ἡ δὲ Δ πρὸς [o] Ε ἐλάσσονα λόγον ἔχει, ἤπερ ὁ τομεὺς πρὸς τὸν κῶνον. Καὶ τὸ περιγεγραμμένον ἄρα πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα λόγον ἔχει, ἤπερ ὁ τομεὺς πρὸς τὸν κῶνον.

[p] Εὐτοκίου Ἀσκαλωνίτου ὑπόμνημα εἰς τὸ πρῶτον τοῦ Ἀρχιμήδους περὶ σφαίρας καὶ κυλίνδρου, ἐκδόσεως παρανεωτερίσης τῷ Μιλησίῳ Μηχανικῷ Ἰσιδώρῳ ἡμετέρῳ διδασκάλῳ.

[o] ἐλάσσονα λόγον ἔχει in MS. deſunt.

[p] Hic Commentariorum finis in MS. non inveniatur.

Digitized by Google

ΑΡΧΙΜΗΔΟΥΣ

ΠΕΡΙ ΣΦΑΙΡΑΣ ΚΑΙ ΚΥΛΙΝΔΡΟΥ

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ,

ΜΕΤΑ ΤΩΝ ΕΥΤΟΚΙΟΥ ΑΣΚΑΛΩΝΙΤΟΥ ΥΠΟΜΝΗΜΑΤΩΝ.

ARCHIMEDIS

DE SPHÆRA ET CYLINDRO

LIBER SECUNDUS,

CUM COMMENTARIIS EUTOCII ASCALONITÆ.

ΑΡΧΙΜΗΔΗΣ ΔΟΣΙΘΕΩ ΧΑΙΡΕΙΝ.

ΠΡΟΤΕΡΟΝ μὲν * ἀπέστειλάς μοι γράψαι τῶν προβλημάτων τὰς ἀποδείξεις, ὧν αὐτὸς τὰς πρότάσεις ἀπέστειλα Κώνωνι. Συμβαίνει δὲ αὐτῶν τὰ πλεῖστα γράφεσθαι διὰ τῶν θεωρημάτων, ὧν πρότερον ἀπέστειλά σοι τὰς ἀποδείξεις· ὅτι τε πάσης σφαίρας ἡ ἐπιφάνεια τετραπλασία ἐστὶ τοῦ μεγίστου κύκλου τῶν ἐν τῇ σφαίρᾳ· καὶ δὴ ὅτι παντὸς [a] τμήματος σφαίρας τῇ ἐπιφανείᾳ ἴσος ἐστὶ κύκλος, [b] οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ εὐθείᾳ τῇ ἀπὸ τῆς κορυφῆς τοῦ τμήματος, ἐπὶ τὴν περιφέρειαν τῆς βάσεως ἀγομένῃ· καὶ δὴ ὅτι πάσης σφαίρας ὁ κύλινδρος ὁ βάσιν μὲν ἔχων τὸν μέγιστον κύκλον τῶν ἐν τῇ σφαίρᾳ, ὕψος δὲ ἴσον τῇ διαμέτρῳ τῆς σφαίρας, αὐτός τε ἡμιόλιός ἐστι τῷ μεγέθει τῆς σφαίρας, καὶ ἡ ἐπιφάνεια αὐτοῦ ἡμιόλια τῆς ἐπιφανείας τῆς σφαίρας· καὶ δὴ ὅτι πᾶς τομεὺς στερεὸς ἴσος ἐστὶ κώνῳ τῷ βάσιν μὲν ἔχοντι τὸν κύκλον τὸν ἴσον τῇ ἐπιφανείᾳ τοῦ τμήματος τῆς σφαίρας τοῦ ἐν τῷ τομεῖ, ὕψος δὲ ἴσον τῇ ἐκ τοῦ κέντρου τῆς σφαίρας. Ὅσα μὲν οὖν τῶν θεωρημάτων ἢ προβλημάτων γράφεται [c] διὰ τούτων θεωρημάτων, ἐν τῷδε τῷ βιβ-

ARCHIMEDES DOSITHEO SAL.

ANTEA quidem mandasti mihi, ut quorum problematum propositiones ipse ad Cononem miseram, horum demonstrationes conscriberem. Contingit autem, ut plurima ex his per theoremata exponantur, quorum antea ad te misi demonstrationes: cujusmodi est illud, cujuslibet sphæræ superficiem quadruplam esse circuli maximi omnium, qui sunt in sphæra; itemque illud, cujuslibet segmenti sphæræ superficiei æqualem esse circulum, cujus ea, quæ ex centro, æqualis est rectæ lineæ, quæ a vertice segmenti ad basis circumferentiam ducitur; quinetiam illud, cujuslibet sphæræ cylindrum, qui basim quidem habeat circulum maximum omnium, qui sunt in sphæra, altitudinem vero æqualem sphæræ diamètro, magnitudine sesquialterum esse sphæræ; ipsius autem superficiem sphæræ superficiei esse sesquialteram: illud denique, quemlibet sectorem solidum æqualem esse cono, qui basim quidem habeat circulum æqualem superficiei segmenti sphæræ, quod est in sectore, altitudinem vero æqualem ei, quæ ex centro sphæræ. Quæcunque igitur theoremata et problemata per theo-

[a] In MS. τμήματος deest. [b] ἧτως [c] δι' αὐτῶν τούτων

* Forte ἐπέστειλας.

Digitized by Google

mata iſta exponuntur, hoc in libro conſcripta ad te miſi: quæcunque vero per aliam inveniuntur contemplationem, quæ tum ad helicas tum ad conoidas pertinent, dabo operam ut ad te quamprimum mittam. Problematum autem hoc primum erat,

λιῳ γράψας ἀπέσταλκά σοι· ὅσα δὲ δι' ἄλλης εὑρίσκονται θεωρίας, ταῦτα περὶ ἑλίκων καὶ τὰ περὶ τῶν κωνοειδῶν, πειράσομαι διὰ τάχους ἀποστεῖλαι. Τὸ δὲ πρῶτον ἦν τῶν προβλημάτων, τόδε,

PROP. I. Prob.

Data ſphæra, planum ſpatium invenire ſphæræ ſuperficiei æquale.

Hoc vero manifeſtum eſt; cum ex iis, quæ diximus, theorematibus demonſtratum ſit. Quadruplum enim circuli maximi omnium, qui ſunt in ſphæra, cum planum ſpatium eſt, tum ſphæræ ſuperficiei æquale.

ΠΡΟΤΑΣΙΣ α'.


Σφαίρας δοθείσης, ἐπίπεδον χωρίον εὑρεῖν, ἴσον τῇ ἐπιφανείᾳ τῆς σφαίρας.

Ἔστι δὲ τοῦτο φανερὸν, δεδειγμένον ἐκ τῶν προειρημένων θεωρημάτων. Τὸ γὰρ τετραπλάσιον τοῦ μεγίστου κύκλου τῶν ἐν τῇ σφαίρᾳ, ἐπίπεδόν τε χωρίον ἐστὶ, καὶ ἴσον τῇ ἐπιφανείᾳ τῆς σφαίρας.

PROP. II. Prob.

Alterum hoc erat: dato cono, vel cylindro, ſphæram invenire cono, vel cylindro æqualem.

Sit datus conus, vel cylindrus A, et ipſi A æqualis ſphæra B: et ponatur coni, vel cylindri A ſeſquialter cylindrus Γ Z Δ; ſphæræ autem B ſeſquialter cylindrus, cujus baſis circulus, qui circa diametrum H Θ deſcribitur, axis vero K Λ ſphæræ B diametro æqualis. Æqualis eſt igitur cylindrus E cylindro K. Æqualium autem cylindrorum baſes et altitudines reciprocantur. Ut igitur circulus E ad circulum K, hoc eſt, ut quadratum, quod a Γ Δ deſcribitur, ad quadratum, quod deſcribitur ab H Θ: ita ſe habet K Λ ad E Z. Æqualis eſt autem K Λ ipſi H Θ. Qui enim cylindrus ſeſquialter eſt ſphæræ diametro æqualem; circuluſque K maximus eſt omnium, qui ſunt in ſphæra. Ut igitur quadratum, quod a Γ Δ deſcribitur, ad quadratum, quod deſcribitur ab H Θ, ita ſe habet H Θ ad E Z. Sit modo quadrato quod deſcribitur ab H Θ æquale ſpatium, quod continetur ſub Γ Δ, M N. Ut igitur Γ Δ ad M N, ita ſe habet quadratum, quod a Γ Δ deſcribitur, ad quadratum, quod deſcribitur ab H Θ; hoc eſt H Θ ad E Z. Et permutando, ut Γ Δ ad H Θ, ita ſe habet H Θ ad M N, et M N ad E Z. Utraque autem Γ Δ, E Z data eſt. Datæ ſunt igitur inter datas duas rectas Γ Δ, E Z proportionales mediæ H Θ, M N. Utraque igitur H Θ, M N eſt data.



Componetur autem problema hoc pacto. Sit datus conus, vel cylindrus A. Oportet autem cono vel cylindro A æqualem ſphæram invenire.

ΠΡΟΤ. β'.

Τὸ δοθὲν ἢ κώνου δοθέντος, ἢ κυλίνδρου, σφαῖραν εὑρεῖν τῷ κώνῳ ἢ τῷ κυλίνδρῳ ἴσην.

Ἔστω ὁ διδόμενος κῶνος ἢ κύλινδρος ὁ Α, κ τῷ Α ἴση ἡ Β σφαῖρα· καὶ κείσθω [d] τοῦ Α κώνου ἢ κυλίνδρου ἡμιόλιος κύλινδρος ὁ Γ Ζ Δ, τῆς δὲ Β σφαίρας ἡμιόλιος κύλινδρος, [d] οὗ βάσις ὁ περὶ διάμετρον τὴν Η Θ κύκλος, ἄξων δὲ ὁ Κ Λ ἴσος τῇ διαμέτρῳ τῆς Β σφαίρας. Ἴσος ἄρα ἐστὶν ὁ Ε κύλινδρος τῷ Κ κυλίνδρῳ. Τῶν δὲ ἴσων κυλίνδρων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν. Ὡς ἄρα ὁ Ε κύκλος πρὸς τὸν Κ κύκλον, τετάρτου ὡς τὸ ἀπὸ [e] Γ Δ πρὸς τὸ ἀπὸ τῆς Η Θ, οὕτως ἡ Κ Λ πρὸς Ε Ζ. Ἴση δὲ ἡ Κ Λ τῇ Η Θ. Ὁ δὲ ἡμιόλιος κύλινδρος τοῦ σφαίρας ἴσην ἔχει τὸν ἄξονα τῇ διαμέτρῳ τῆς σφαίρας, καὶ ὁ Κ κύκλος μέγιστός ἐστι τῶν ἐν τῇ σφαίρᾳ. Ὡς ἄρα τὸ ἀπὸ Γ Δ πρὸς τὸ ἀπὸ Η Θ, [e] οὕτως ἡ Η Θ πρὸς [f] τὴν Ε Ζ. Ἔστω τῷ ἀπὸ Η Θ ἴσον τὸ ὑπὸ Γ Δ, Μ Ν. Ὡς ἄρα ἡ Γ Δ πρὸς Μ Ν, οὕτως τὸ ἀπὸ Γ Δ πρὸς τὸ ἀπὸ Η Θ, τουτέστιν ἡ Η Θ πρὸς Ε Ζ. Καὶ ἐναλλὰξ, ὡς ἡ Γ Δ πρὸς τὴν Η Θ, [f] οὕτως ἡ Η Θ πρὸς τὴν Μ Ν, καὶ ἡ Μ Ν πρὸς Ε Ζ. Καί ἐστι δοθεῖσα ἑκατέρα τῶν Γ Δ, Ε Ζ. Δύο ἄρα δοθεισῶν εὐθειῶν τῶν Γ Δ, Ε Ζ, δύο μέσαι ἀνάλογόν εἰσιν αἱ Η Θ, Μ Ν. Δοθεῖσα ἄρα ἑκατέρα [g] τῶν Η Θ, Μ Ν.

Συντεθήσεται δὴ τὸ πρόβλημα οὕτως. Ἔστω δὴ ὁ δοθεὶς κῶνος, ἢ κύλινδρος ὁ Α. Δεῖ δὴ τῷ Α κώνῳ ἢ κυλίνδρῳ ἴσην σφαῖραν εὑρεῖν.

[d] οὗτω [e] οὕτως [f] τὴν [g] τῶν τῆς Η Θ

Digitized by Google

Ἔστω τοῦ Α κώνου, ἢ κυλίνδρου, ἡμιόλιος κύλινδρος, οὗ βάσις ὁ περὶ διάμετρον τὴν ΓΔ κύκλος, ἄξων δὲ ὁ ΕΖ. Καὶ εἰλήφθω τῶν ΓΔ, ΕΖ δύο μέσαι ἀνάλογον, αἱ ΗΘ, ΜΝ· ὥστε εἶναι ὡς τὴν ΓΔ πρὸς τὴν ΗΘ, οὕτω τὴν ΗΘ πρὸς τὴν ΜΝ, τὴν πρὸς τῷ ΜΝ, πρὸς τὴν ΕΖ· καὶ νοείσθω κύλινδρος, [h] οὗ βάσις ὁ περὶ διάμετρον τὴν ΗΘ κύκλος, ἄξων δὲ ὁ ΚΛ ἴσος τῇ ΗΘ διαμέτρῳ. Λέγω δὴ ὅτι ἴσος ἐστὶν ὁ Ε κύλινδρος τῷ Κ κυλίνδρῳ.


Καὶ ἐπεί ἐστιν ὡς ἡ ΓΔ πρὸς ΗΘ, ἡ ΜΝ πρὸς ΕΖ· καὶ ἐναλλάξ, καὶ ἴση ἡ ΗΘ τῇ ΚΛ. Ὡς ἄρα ἡ ΓΔ πρὸς ΜΝ, τουτέστιν ὡς τὸ ἀπὸ τῆς ΓΔ πρὸς τὸ ἀπὸ ΗΘ, οὕτως ὁ Ε κύκλος πρὸς τὸν Κ κύκλον· ὡς ἄρα ὁ Ε κύκλος πρὸς τὸν Κ κύκλον, οὕτως ἡ ΚΛ πρὸς τὴν ΕΖ. Τῶν ἄρα Ε, Κ κυλίνδρων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν. Ἴσος ἄρα ὁ Ε κύλινδρος τῷ Κ κυλίνδρῳ. Ὁ δὲ Κ κύλινδρος τῆς σφαίρας, ἧς διάμετρος ἡ ΗΘ ἡμιόλιός ἐστι. Καὶ ἡ σφαῖρα ἄρα ἧς ἡ διάμετρος ἴση ἐστὶ τῇ ΗΘ, τουτέστιν ἡ Β, ἴση ἐστὶ τῷ Α κώνῳ ἢ κυλίνδρῳ.

Sit coni vel cylindri A ſeſquialter cylindrus, cujus baſis circulus, qui circa diametrum ΓΔ, deſcribitur, et axis ΕΖ. Sumanturque inter ΓΔ, ΕΖ duæ proportionales mediæ ΗΘ, ΜΝ; ita ut quemadmodum ΓΔ ad ΗΘ, ita ſe habeat ΗΘ ad ΜΝ, et ΜΝ ad ΕΖ: atque intelligatur cylindrus, cujus baſis circulus, qui circa diametrum ΗΘ deſcribitur, et axis ΚΛ diametro ΗΘ æqualis. Dico cylindrum Ε cylindro Κ æqualem eſſe.

Quoniam enim ut ΓΔ ad ΗΘ, ita ſe habet ΜΝ ad ΕΖ; itemque permutando, æqualiſque eſt ΗΘ ipſi ΚΛ. Ideo ut ΓΔ ad ΜΝ, hoc eſt ut quadratum, quod a ΓΔ deſcribitur, ad quadratum, quod deſcribitur ab ΗΘ, ita ſe habet circulus Ε ad circulum Κ; et ut circulus Ε ad circulum Κ, ita ΚΛ ad ΕΖ. Cylindrorum igitur Ε, Κ baſes et altitudines reciprocantur. Æqualis eſt igitur cylindrus Ε cylindro Κ. Cylindrus autem Κ ſphæræ, cujus diameter ΗΘ, eſt ſeſquialter. Igitur etiam ſphæra, cujus diameter ipſi ΗΘ eſt æqualis, hoc eſt ſphæra Β, æqualis eſt cono, vel cylindro Α.

EUTOCIUS.


Σαφῶς ἡμῖν τὰ ἐν τῷ πρώτῳ βιβλίῳ θεωρημάτων γεγραμμένων, ἀκόλουθος καὶ ἡ κατὰ τὸν αὐτὸν τρόπον ἐν τοῖς δευτέροις θεωρήμασι σπουδή. Φησὶ δὲ πρῶτον ἐν τῷ β θεωρήματι· εἰλήφθω τοῦ δοθέντος κώνου, ἢ κυλίνδρου ἡμιόλιος κύλινδρος. Τοῦτο δὲ διχῶς δυνατόν ἐστιν [i] εἰπεῖν, ἤτοι τῆς βάσεως τῆς αὐτῆς σωζομένης ἐν ἀμφοτέροις, ἢ τοῦ ὕψους. Καὶ ἵνα σαφέστερον γένηται τὸ λεγόμενον, νενοήσθω κῶνος, ἢ κύλινδρος, οὗ βάσις μὲν ὁ Α κύκλος, ὕψος δὲ ἡ ΑΓ. Καὶ δέον ἔστω αὐτοῦ κώνου ἢ κυλίνδρου ἡμιόλιον κύλινδρον εὑρεῖν. Ὑποκείσθω δὴ πρότερον ὁ ΑΓ κύλινδρος, καὶ προσκεβλήσθω τὸ ΑΓ ὕψος τοῦ κυλίνδρου, καὶ κείσθω τῆς ΑΓ ἡμίσεια ἡ ΓΔ. Ἡ ἄρα ΑΔ ἡμιόλιά ἐστι τῆς ΑΓ. Ἐὰν δὴ νοήσωμεν κύλινδρον, βάσιν μὲν ἔχοντα τὸν Α κύκλον, ὕψος δὲ τὴν ΑΔ εὐθεῖαν, ἡμιόλιος [k] ἔσται τοῦ προτεθέντος τοῦ ΑΓ. Οἱ γὰρ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντες κῶνοι καὶ κύλινδροι, πρὸς ἀλλήλους εἰσὶν, ὡς τὰ ὕψη. Εἰ δὲ κῶνος εἴη ὁ ΑΓ, τμηθείσης τῆς ΑΓ δίχα, ὡς κατὰ τὸ Ε, ἐὰν πάλιν νοηθῇ κύλινδρος βάσιν μὲν ἔχων τὸν Α κύκλον, ὕψος δὲ τὴν ΑΕ, ἔσται ἡμιόλιος τοῦ ΑΓ. Ὁ γὰρ κύλινδρος ὁ βάσιν ἔχων τὸν Α κύκλον, ὕψος δὲ τὴν ΑΓ εὐθεῖαν, τῷ μὲν ΑΓ κώνου τριπλάσιός ἐστι, τοῦ δὲ ΑΕ κυλίνδρου διπλάσιος. Ὥστε δῆλον, ὅτι καὶ ὁ ΑΕ κύλινδρος ἡμιόλιός ἐστι τοῦ ΑΓ κώνου. Οὕτως μὲν δὴ, τῆς αὐτῆς βάσεως σωζομένης, ἔν τε τῷ προτεθέντι, καὶ ἐν τῷ λαμβανομένῳ, γενήσεται τὸ πρόβλημα. Ἔστι δὲ καὶ, τῆς βάσεως διαφόρου τυγχανούσης, τοῦ δὲ ὕψους τοῦ αὐτοῦ μένοντος, τὸ αὐτὸ ποιεῖν. Ἔστω γὰρ πάλιν κῶνος ἢ κύλινδρος,





Cum, quæ primo in libro ſunt, theoremata ſatis, opinor, perſpicue a nobis ſint explicata, ſequitur, ut ea quoque, quæ ſunt in ſecundo, eadem cura perſequamur. Ac primum quidem hoc in ſecundo theoremate dicit: ſumatur cylindrus dati coni, vel cylindri ſeſquialter. Hoc autem poteſt duobus dici modis; nimirum ſervata in utroque eadem vel baſe, vel altitudine. Quod ut clarius fiat, intelligatur conus, aut cylindrus, cujus quidem baſis ſit circulus A, altitudo vero ΑΓ. Oporteat autem cylindrum invenire coni, aut cylindri hujus ſeſquialterum. Ponatur primo ΑΓ cylindrus eſſe; productaque ejus altitudine ΑΓ, abſcindatur ΓΔ ipſius ΑΓ dimidia. Eſt igitur ΑΔ ſeſquialtera ipſius ΑΓ. Itaque ſi intelligatur cylindrus baſim quidem habens circulum A, altitudinem vero rectam ΑΔ, ſeſquialter erit propoſiti cylindri ΑΓ. Qui enim coni, et cylindri ſuper eadem baſe conſtituti ſunt, hi ſeſe habent invicem ut altitudines. Quod ſi ΑΓ conus fuerit, ſecta ΑΓ in duas æquas partes in puncto Ε, ſi rurſus intelligatur cylindrus baſim quidem habens circulum A, altitudinem vero ΑΕ, hic erit coni ΑΓ ſeſquialter. Cylindrus enim baſim quidem habens circulum A, altitudinem vero rectam ΑΓ, coni quidem ΑΓ eſt triplus, cylindri vero ΑΕ duplus. Quare conſtat cylindrum ΑΕ ſeſquialterum eſſe coni ΑΓ. Atque ita quidem, eadem in utroque cum propoſito tum ſumpto baſe ſervata, problema conficietur. Quinetiam ſi baſis diverſa, et altitudo eadem fuerit, hoc ipſum fiet. Sit enim rurſus conus, aut cylindrus, cujus quidem baſis circulus


[h] ἔτω [i] ποιεῖν [k] ἄξεται


ZH, altitudo vero recta ΘK: oportet autem cylindrum invenire, coni aut cylindri hujus ſeſquialterum, cujus altitudo ſit ipſi ΘK æqualis. Deſcribatur a circuli diametro ZH quadratum ZΛ; productaque ZH, abſcindatur ejus dimidia HM; compleaturque parallelogrammum ZN. Seſquialterum igitur eſt cum ZN ipſius ZΛ, tum MZ ipſius ZH. Conſtituatur modo quadratum ΞΠ parallelogrammo ZN æquale; deſcribaturque circa unum ejuſdem latus ΞO, velut diametrum, circulus. Erit utique circulus ΞO circuli ZH ſeſquialter. Circuli enim ſeſe habent invicem ut quadrata, quæ a diametris deſcribuntur. Itaque ſi rurſus intelligatur cylindrus baſim quidem habens circulum ΞO, altitudinem vero ipſi ΘK æqualem; ſeſquialter erit cylindri, cujus quidem baſis circulus ZH, altitudo vero recta ΘK. Quod ſi conus fuerit, iiſdem pariter confectis, conſtitutoque quadrato tertiæ parti parallelogrammi ZN æquali, cujuſmodi eſt ΞΠ, circuloque circa ejuſdem latus ΞO deſcripto; ſi intelligatur cylindrus ab hoc circulo excitatus eſſe altitudinem habens ΘK, hic erit propoſiti coni ſeſquialter. Quoniam enim parallelogrammum ZN quadrati quidem ΞΠ eſt triplum, quadrati vero ZΛ ſeſquialterum; erit utique idem ZΛ ipſius ΞΠ duplum. Propterea et circulus circuli, et cylindrus cylindri duplus erit. At vero cylindrus baſim quidem habens circulum ZH, altitudinem vero ΘK, triplus eſt coni circa eamdem baſim, et altitudinem deſcripti. Quare et cylindrus baſim quidem habens circulum ΞO, altitudinem vero ipſi ΘK æqualem, ſeſquialter eſt coni propoſiti. Jam ſi oportuerit neque altitudinem, neque baſim eamdem eſſe, problema duobus pariter modis conficietur. Qui enim quæritur cylindrus, habuerit utique aut baſim, aut altitudinem datæ cuidam æqualem. Ac quæ data eſt, ſit primum baſis, puta circulus ΞO. Oporteat autem cylindrum invenire, quem a baſe ΞO excites, dati coni, aut cylindri ſeſquialterum. Sumatur eo, quo ſupra diximus, modo cylindrus ΦΥ dati coni, aut cylindri ſeſquialter, eamdemque atque propoſitus baſim habens: et fiat, ut quadratum quod a ΞO deſcribitur, ad quadratum, quod deſcribitur a ΤΥ, ita cylindri ΦΥ altitudo ad PΣ. Igitur cylindrus, qui a baſe ΞO excitatur, altitudinem habens PΣ cylindro ΦΥ æqualis eſt: reciprocantur enim inter ſe














ἓ βάσις ὁ ΖΗ κύκλος, ὕψος δὲ ἡ ΘΚ εὐθεῖα, ἓ δέον ἔσω ἡμιόλιον [l] κύλινδρον εὑρεῖν, ὕψος ἔχοντα ἴσον τῇ ΘΚ. Ἀναγεγράφθω ἀπὸ τῆς ΖΗ διαμέτρου τοῦ κύκλου τετράγωνον τὸ ΖΛ, καὶ προσεκβληθείσης τῆς ΖΗ, [m] κείσθω αὐτῆς ἡμίσεια ἡ ΗΜ· καὶ συμπεπληρώσθω τὸ ΖΝ παραλληλόγραμμον. Τὸ ἄρα ΖΝ ἡμιόλιόν ἐστι τοῦ ΖΛ, καὶ ἡ ΜΖ [n] τῆς ΖΗ. Συνεστάτω δὴ τῷ ΖΝ παραλληλογράμμῳ ἴσον τετράγωνον τὸ ΞΠ· καὶ περὶ διάμετρον μίαν τῶν πλευρῶν αὐτοῦ τὴν ΞΟ κύκλος περιγεγράφθω. [o] Ἔσται δὴ ὁ ΞΟ ἡμιόλιος τοῦ ΖΗ. Οἱ γὰρ κύκλοι πρὸς ἀλλήλους εἰσὶν, ὡς τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα. Καὶ ἐὰν πάλιν νοηθῇ κύλινδρος βάσιν μὲν ἔχων τὸν ΞΟ κύκλον, ὕψος δὲ ἴσον τῇ ΘΚ, [p] ἔσται ἡμιόλιος τοῦ κυλίνδρου [q] οὗ βάσις μὲν ὁ ΖΗ κύκλος, ὕψος δὲ ἡ ΘΚ. Εἰ δὲ κῶνος εἴη, ὁμοίως τὰ ποιήσαντες, καὶ τῷ τρίτῳ μέρει τοῦ ΖΝ παραλληλογράμμου ἴσον συνεστάμενοι τετράγωνον, ὡς τὸ ΞΠ· καὶ περὶ τὴν πλευρὰν αὐτοῦ ΞΟ κύκλον γράψαντες, ἐὰν νοήσωμεν ἀπ' αὐτοῦ κύλινδρον ὕψος ἔχοντα τὴν ΘΚ· ἕξομεν αὖτον ἡμίολιον τοῦ προτεθέντος κώνου. Ἐπεὶ γὰρ τὸ ΖΝ παραλληλόγραμμον τοῦ ΞΠ τετραγώνου τριπλάσιον, τοῦ δὲ ΖΛ ἡμιόλιον· τὸ ΖΛ τοῦ ΞΠ [r] ἔσται διπλάσιον. Καὶ διὰ τοῦτο [s] καὶ ὁ κύκλος τοῦ κύκλου διπλάσιος, καὶ ὁ κύλινδρος τοῦ κυλίνδρου. Ἀλλ' ὁ κύλινδρος ὁ βάσιν ἔχων τὸν ΖΗ κύκλον, ὕψος δὲ τὴν ΘΚ, τριπλάσιός ἐστι τοῦ, περὶ τὸν αὐτὴν βάσιν καὶ ὕψος τὸ αὐτὸ κώνου. Ὥστε καὶ ὁ κύλινδρος ὁ βάσιν ἔχων τὸν ΞΟ κύκλον, ὕψος δὲ ἴσον τῇ ΘΚ, ἡμιόλιός ἐστι τοῦ προκειμένου κώνου. Εἰ [t] δὴ δέοι μήτε τὸν ἄξονα τὸν αὐτὸν εἶναι, μήτε τὴν βάσιν, γενήσεται τὸ πρόβλημα πάλιν διχῶς. Ἡ γὰρ τὴν βάσιν ἕξει ἴσην τῇ δοθείσῃ, ἢ τὸν ἄξονα ὁ προσειζόμενος κύλινδρος. Ἔστω γὰρ πρότερον ἡ βάσις διδομένη, ὡς ὁ ΞΟ κύκλος. Καὶ δέον ἔστω κύλινδρον εὑρεῖν ἡμιόλιον τοῦ δοθέντος κώνου, ἢ κυλίνδρου, ἀπὸ βάσεως τῆς ΞΟ. Εἰλήφθω, ὡς προείρηται, τοῦ δοθέντος κώνου, ἢ κυλίνδρου ἡμιόλιος κύλινδρος, βάσιν ἔχων τὴν αὐτὴν τῷ προτεθέντι ὁ ΦΥ· καὶ γεγονέτω ὡς τὸ ἀπὸ τῆς ΞΟ, πρὸς τὸ [u] ἀπὸ ΤΥ, οὕτως τὸ ὕψος τοῦ ΦΥ πρὸς [w] τὴν ΡΣ. Ἔσται ἄρα ὁ κύλινδρος ὁ ἀπὸ τῆς ΞΟ βάσεως, ὕψος ἔχων τὴν ΡΣ, ἴσος τῷ ΦΥ· ἀντιπεπόνθασι γὰρ αἱ βάσεις [x] τοῖς ὕψεσι· καὶ γενομένης ἂν εἴη τὸ ἐπί-

[l] In MS. κύλινδρον deeſt. [m] κείσθω αὐτῆς ἡμίσεια ἡ ΗΜ· καὶ συμπεπληρώσθω τὸ ΖΝ in MS. deſunt. [n] τῇ ΖΗ [o] ἔστω [p] ἔστω [q] οὗτος [r] ἔστω [s] In MS. καὶ deeſt. [t] δὲ ex MS. [u] ἀπὸ τοῦ ΤΥ [w] τὴν ΡΟ ἔστω [x] ταῖς

Digitized by Google


ταγμα. Εἰ δὲ μὴ ἡ βάσις ᾖ διδομένη, ἀλλὰ ὁ ἄξων, τῷ αὐτῷ λόγῳ ποιηθέντος τοῦ Φ Υ, γενήσεται τὰ τῆς προτάσεως.


ΕΙΣ ΤΗΝ ΣΥΝΘΕΣΙΝ ΤΟΥ β.

Τούτῳ ληφθέντος, ἐπεὶ δι' ἀναλύσεως αὐτῶν προέζη τὰ τῶ προβλήματος, λῆξάσης τῆς ἀναλύσεως εἰς τὸ δεῖν δύο δοθεισῶν δύο μέσας ἀνάλογον παρεμβαλεῖν ἐν συνεχεῖ ἀναλογίᾳ, φησὶν ἐν τῇ συνθέσει, εὑρήσθαι. Τὴν δὲ εὕρεσιν τούτων, ὑφ' αὐτῶ μὲν γεγραμμένῳ οὐδὲ ὅλως εὑρίσκομεν. Πολλῶν δὴ κλεινῶν ἀνδρῶν γραφαῖς [y] ἐντυχήκαμεν, τὸ πρόβλημα τοῦτο ἐπαγγελλομέναις, ὧν τὴν Εὐδόξου τοῦ Κνιδίου παρητησάμεθα [z] γράφειν. Ἐπειδὴ φησι μὲν ἐν προοιμίοις διὰ καμπύλων γραμμῶν αὐτὴν ηὑρηκέναι, ἐν ᾗ τῇ ἀποδείξει πρὸ τοῦ μὴ κεχρῆσθαι καμπύλαις γραμμαῖς· ἀλλὰ καὶ διηρημένην ἀναλογίαν [a] εὑρών, ὡς συνεχεῖ χρῆται· ὅπερ ἴσως ἄτοπον ὑπονοῆσαι. Τί λέγω περὶ Εὐδόξου, ἀλλὰ πρὸς τῶν καὶ μετρίως πρὸς γεωμετρίαν ἀνεσταμμένων; Ἵνα δὲ ἡ τῶν εἰς ἡμᾶς ἐληλυθότων ἀνδρῶν ἔννοια ἐμφανὴς γένηται, ὁ ἑκάστου τῆς εὑρέσεως τρόπος καὶ ἐνταῦθα γραφήσεται.

ΩΣ ΠΛΑΤΩΝ.

Δύο δοθεισῶν εὐθειῶν, δύο μέσας ἀνάλογον εὑρεῖν ἐν συνεχεῖ ἀναλογίᾳ. Ἔστωσαν αἱ δοθεῖσαι δύο εὐθεῖαι αἱ Α Β, Β Γ, πρὸς ὀρθὰς ἀλλήλαις, ὧν δεῖ δύο μέσας ἀνάλογον εὑρεῖν. Ἐκβεβλήσθωσαν ἐπ' εὐθείας ἐπὶ τὰ Δ, Ε. Καὶ κατεσκευάσθω ὀρθὴ γωνία ἡ ὑπὸ Ζ Η Θ· καὶ ἐν ἑνὶ σκέλει, οἷον τῷ Ζ Η, κινείσθω κανών ὁ Κ Λ ἐν σωλῆί τινι ὄντι ἐν τῷ Ζ Η ἄτως, ὥστε παράλληλον αὐτὸν διαμένειν τῷ Η Θ. [b] Ἔσαι δὴ τοῦτο, ἐὰν καὶ ἕτερον κανόνιον νοηθῇ συμφυὲς τῷ Θ Η, παράλληλον τῷ Ζ Η, ὡς τὸ Θ Μ. Σωλῆσι [c] χθεισῶν γὰρ τῶν ἄνωθεν ὑπφανειῶν τῶν Ζ Η, Θ Μ σωλῆσι πελεκινοειδέσι, καὶ τύλων συμφυῶν γενομένων τῷ Κ Λ εἰς τοὺς εἰρημένους σωλῆνας, [d] ἔσαι ἡ κίνησις τοῦ Κ Λ παράλληλος ἀεὶ τῷ Η Θ. Τούτων οὖν κατασκευασμένων, κείσθω τὸ ἓν σκέλος τῆς γωνίας Ζ Η Θ τυχὸν τὸ Η Θ, φαῦον τοῦ Γ· καὶ μεταφερέσθω ἥτε γωνία, καὶ ὁ Κ Λ κανών, ἐπὶ τοσοῦτον, ἄχρις ἂν [e] ἕ τὸ μὲν Η σημεῖον ἐπὶ τῆς Β Ε εὐθείας ᾖ, τοῦ Η Θ σκέλους φαύοντος τοῦ Γ· ὁ δὲ Κ Λ κανὼν κατὰ μὲν τὸ Κ [f] φαύῃ τῆς Β Δ εὐθείας, κατὰ δὲ τὸ λοιπὸν μέρος τοῦ Α. Ὥστε εἶναι, ὡς ἔχει ὅλη τῆς καταγραφῆς, τὴν μὲν ὀρθὴν γωνίαν θέσιν ἔχουσαν, ὡς τὴν ὑπὸ Γ Ε Δ· τὸν δὲ Κ Λ κανόνα θέσιν ἔχειν, οἵαν ἔχει ἡ Δ Α. Τούτων γὰρ [g] γενομένων ἔσαι τὸ προκείμενον. Ὀρθῶν γὰρ οὐσῶν τῶν πρὸς [h] τοῖς Δ, Ε, ἐστὶν ὡς ἡ Γ Β πρὸς Β Ε, ἡ Ε Β πρὸς Β Δ, καὶ ἡ Δ Β πρὸς Β Α.





[y] ἐντετυχήκαμεν [z] γραφὴν [a] εὑρεῖν [b] ἔσω [c] σθεισῶν [d] ἔσω [e] In MS. ἕ deeſt. [f] φάυει [g] γεναμένων ἔσω [h] τοῖς Λ Ε

IN SECUNDI THEOREMATIS COMPOSITIONEM.

Sumpto eo, ex cujus reſolutione, quæ ad problema pertinent, fluxerunt; cum reſolutio ipſa eo demum exierit, ut inter datas duas rectas duæ proportionales mediæ proportione continua inveniendæ ſint; illud in compoſitione dicit, inveniantur. Quo autem pacto eaſdem ipſe invenerit, compertum plane mihi non eſt. Cum autem in multorum illuſtrium virorum ſcripta inciderim, in quibus plures problematis hujus conficiendi rationes traduntur, unam Eudoxi Gnidii rejeci. Quippe quum in Proæmiis per curvas lineas illam ſe inveniſſe dicat, nullas in demonſtratione curvas lineas adhibet; diſcretaque, quam inſtituit, proportione tamquam continua utitur; quod abſurdum utique erat cogitaſſe. Quid de Eudoxo dico, cum de illis quoque dici poſſit, qui mediocriter in Geometria verſati ſunt? Ut autem eorum intelligentia, quorum ſcripta ad nos pervenerunt, cognoſcatur, qua quiſque ratione Problema illud confecerit, deinceps ſcribetur.

QUA PLATO.


Datis duabus rectis, duas proportionales medias proportione continua invenire. Sint datæ duæ rectæ, AB, BΓ ad angulos inter ſe invicem rectos, quas inter duas proportionales medias invenire oporteat. Producantur in directum ad puncta Δ, E. Conſtruatur autem rectus angulus ZHΘ: cujus in uno crure, puta ZH, per ſtrigem aliquam, quæ ducta in ipſo ſit, regula KΛ ita moveatur, ut cruri alteri HΘ parallela maneat. Hoc vero fiet, ſi ipſi ΘH intelligatur regula alia inſerta eſſe cruri ZH parallela, cujuſmodi eſt ΘM. Cum enim ſtriatæ deſuper ſint ſuperficies ZH, ΘM ſtrigibus ſecuriclatis; compactis utique in regulam KΛ ligneis clavis, iiſdemque in eas, quas diximus, ſtriges inſertis; KΛ ipſi HΘ parallela continuo movebitur. His ita confectis, admoveatur utrumlibet crus anguli ZHΘ, HΘ ad punctum Γ: et tum angulus, tum regula KΛ uſque eo transferatur; donec, crure HΘ per punctum Γ tranſeunte, punctum quidem H ſuper rectam BE cadat; regula vero KΛ ab una parte, puncto ipſius K, rectam BΔ, et ab altera rectam ΔA contingat. Nimirum figuræ hujus ſpecies exhibeatur: ita ut rectus quidem angulus eodem, quo ΓEΔ, ſitu jaceat; regula vero KΛ eodem, quo recta ΔA. Hæc enim ſi ita fiant, quod propoſitum eſt conficietur. Nam anguli, qui ad puncta ſunt Δ, E cum ſint recti; ut ΓB ad BE, ita ſe habuerit tum EB ad ΔB, tum BΔ ad BA.

Digitized by Google

QUA HERO

In Mechanicis inſtitutionibus, libriſque de telis fabricandis.

Sint datæ duæ rectæ A B, B Γ, quas inter duas proportionales medias invenire oporteat. Ponantur ita inter ſe invicem, ut rectum, qui ad punctum B eſt, angulum comprehendant: et compleatur parallelogrammum; junganturque A Γ, B Δ. Manifeſtum igitur eſt eaſdem, rectæ cum ſint, in duas æquas partes ſeſe invicem ſecare. Qui enim circulus circa earum alteram deſcribitur, hic per alterius quoque extrema tranſibit; eo quod parallelogrammum rectangulum eſt. Producantur ΔΓ, Δ A ad puncta Z, H: atque intelligatur regula Z B H circa clavum aliquem ligneum moveri puncto B infixum. Moveatur autem uſque eo circa hunc clavum, donec æquales abſciderit rectas, quæ a puncto E ducuntur; hoc eſt E H, E Z. Intelligatur vero eas abſcidiſſe ubi primum ad ſitum pervenerit Z B H; atque ſint, ut dictum eſt, E H, E Z. Ducatur modo a puncto E ad ΓΔ normalis EΘ. Secat utique ipſam ΓΔ in duas æquas partes. Quoniam igitur ΓΔ in duas æquas partes in puncto Θ ſecatur, eidemque apponitur Γ Z; ſpatium quod ſub Δ Z Γ continetur, una cum quadrato, quod a ΓΘ deſcribitur, quadrato æquale eſt, quod deſcribitur a Θ Z. Commune addatur quadratum, quod deſcribitur ab EΘ. Quod igitur ſpatium ſub Δ Z Γ continetur, una cum quadratis, quæ a ΓΘ, Θ E deſcribuntur, id æquale eſt quadratis, quæ deſcribuntur a Z Θ, Θ E. Æquale autem eſt quadratis quidem, quæ a ΓΘ, Θ E deſcribuntur, quadratum, quod a Γ E deſcribitur; quadratis vero, quæ deſcribuntur a Z Θ, Θ E, quadratum, quod deſcribitur ab E Z. Quod igitur ſpatium ſub Δ Z Γ continetur, una cum quadrato, quod a Γ E deſcribitur, id æquale eſt quadrato, quod deſcribitur ab E Z. Eadem ratione demonſtrabitur, etiam ſpatium, quod ſub Δ H A continetur, una cum quadrato, quod ab A E deſcribitur, æquale eſſe quadrato, quod deſcribitur ab E H. Æqualis eſt autem tum A E ipſi E Γ, tum H E ipſi E Z. Igitur etiam ſpatium, quod ſub Δ Z Γ continetur, ſpatio æquale eſt, quod continetur, ſub Δ H A. At vero ſi ſpatium, quod ſub extremis continetur, ſpatio æquale ſit, quod continetur ſub mediis, quatuor hæ rectæ proportionales invicem ſunt. Igitur, ut Z Δ ad Δ H, ita ſe habet A H ad Γ Z. Ut autem Z Δ ad Δ H, ita ſe habet tum Z Γ ad Γ B, tum B A ad A H. Ductæ enim ſunt in triangulo Z Δ H parallelæ alteri quidem lateri Δ H, Γ B; alteri vero Δ Z, A B. Ut igitur B A ad A H, ita ſe habet A H ad Γ Z, et Γ Z ad Γ B. Proportionales igitur mediæ inter A B, B Γ ſunt A H, Z Γ: quæ inveniendæ proponebantur.



ΩΣ ΗΡΩΝ

Ἐν Μηχανίκαις εἰσαγωγαῖς, καὶ ἐν τοῖς βελοποικοῖς.

Ἔϛωσαν αἱ δοθεῖσαι δύο εὐθεῖαι αἱ Α Β, Β Γ, ὧν δεῖ δύο μέσας ἀνάλογον εὑρεῖν. Κείσθωσαν ὥϛε ὀρθὴν γωνίαν περιέχειν τὴν πρὸς τῷ Β· καὶ συμπεπληρώσθω τὸ Β Δ παραλληλόγραμμον, καὶ ἐπεζεύχθωσαν αἱ Α Γ, Β Δ. Φανερὸν δή, ὅτι ἴσαι ἔσαι δίχα τέμνουσιν ἀλλήλας. Ὁ γὰρ περὶ μίαν αὐτῶν γραφόμενος κύκλος ἥξει καὶ διὰ τῶν περάτων τὴν ἑτέρας, διὰ τὸ ὀρθογώνιον εἶναι τὸ παραλληλόγραμμον. Ἐκβεβλήσθωσαν αἱ Δ Γ, Δ Α ὅπῃ τὰ Ζ, Η, καὶ νοείσθω κανόνιον ὡς τὸ Ζ Β Η, κινούμενον περί τινα τύλον μένοντα πρὸς τῷ Β. Καὶ κινείσθω ἕως ἀποτέμοι ἴσας τὰς ἀπὸ τοῦ Ε, τουτέϛι τὰς Ε Η, Ε Ζ. Καὶ νοείσθω ἀποτεμὼν, καὶ ϛάϛιν ἔχον τὴν Ζ Β Η, [i] ἴσων, ὡς εἴρηται, γινομένων τῶν Ε Η, Ε Ζ. Ἤχθω δὴ ἀπὸ τοῦ Ε ἐπὶ τὴν Γ Δ κάθετος ἡ Ε Θ. Δίχα δὴ τέμνει, [k] δῆλον ὅτι τὴν Γ Δ. Ἐπεὶ οὖν δίχα τέμνεται ἡ Γ Δ κατὰ τὸ Θ, καὶ πρόσκειται ἡ Γ Ζ, τὸ ὑπὸ Δ Ζ Γ μετὰ τοῦ ἀπὸ Γ Θ, ἴσον ἐϛὶν τῷ ἀπὸ Θ Ζ. Κοινὸν προσκείσθω τὸ ἀπὸ Ε Θ. Τὸ ἄρα ὑπὸ Δ Ζ Γ μετὰ τῶν ἀπὸ Γ Θ, Θ Ε, ἴσον ἐϛὶ τοῖς ἀπὸ Ζ Θ, Θ Ε. Καί ἐϛι τοῖς μὲν ἀπὸ Γ Θ, Θ Ε, ἴσον τὸ ἀπὸ Γ Ε· τοῖς δ' ἀπὸ Ζ Θ, Θ Ε, ἴσον τὸ ἀπὸ Ε Ζ. Τὸ ἄρα ὑπὸ Δ Ζ Γ μετὰ τοῦ ἀπὸ Γ Ε, ἴσον τῷ ἀπὸ Ε Ζ. Ὁμοίως δὴ δειχθήϛεται, ὅτι καὶ τὸ ὑπὸ Δ Η Α μετὰ τοῦ ἀπὸ Α Ε, [l] ἴσον ἐϛὶ τῷ ἀπὸ Ε Η. Καί ἐϛιν ἴϛη ἡ μὲν Α Ε τῇ Ε Γ, ἡ δὲ Η Ε τῇ Ε Ζ. Καὶ τὸ ὑπὸ Δ Ζ Γ ἄρα ἴσον ἐϛὶ τῷ ὑπὸ Δ Η Α. Ἐὰν δὲ τὸ ὑπὸ τῶν ἄκρων ἴσον ᾖ τῷ ὑπὸ τῶν μέσων, αἱ τέϛαρες εὐθεῖαι ἀνάλογόν εἰϛι. Ἔϛιν ἄρα ὡς Ζ Δ πρὸς Δ Η, οὕτως ἡ Α Η πρὸς Γ Ζ· Ἀλλ' ὡς ἡ Ζ Δ πρὸς Δ Η, οὕτως ἡ Ζ Γ πρὸς Γ Β, καὶ ἡ Β Α πρὸς Α Η. Τριγώνου γὰρ τοῦ Ζ Δ Η παρὰ μίαν μὴ τὴν Δ Η, ἦκται ἡ Γ Β, παρὰ δὲ τὴν Δ Ζ ἡ Α Β. Ὡς ἄρα ἡ Β Α πρὸς Α Η, οὕτως ἡ Α Η πρὸς Γ Ζ, καὶ ἡ Γ Ζ πρὸς Γ Β. Τῶν ἄρα Α Β, Β Γ μέσαι ἀνάλογόν εἰϛι αἱ Α Η, Γ Ζ· ὅπερ ἔδει εὑρεῖν.

QUA PHILO BYZANTINUS.

Sint datæ duæ rectæ A B, B Γ, quas inter duas proportionales medias invenire oporteat. Ponantur ita inter ſe invicem, ut rectum, qui ad punctum B eſt, angulum comprehendant: et juncta A Γ, deſcribatur circa ipſam ſemicirculus A B E Γ: ducanturque A Δ, et Γ Z, altera quidem ad B A, altera vero ad Γ B, utraque ad angulos rectos. Admoveatur autem ad punctum B regula rectas abſcindens A Δ, Γ Z: eademque moveatur uſque eo circa id punctum, donec quæ recta a puncto B ad Δ du-


ΩΣ ΦΙΛΩΝ Ο ΒΥΖΑΝΤΙΟΣ.

Ἔϛωσαν αἱ δοθεῖσαι δύο εὐθεῖαι αἱ Α Β, Β Γ, ὧν δεῖ δύο μέσας ἀνάλογον εὑρεῖν. Κείσθωσαν, ὥϛε ὀρθὴν γωνίαν περιέχειν τὴν πρὸς τῷ Β· καὶ ἐπιζευχθείσης τῆς Α Γ, γεγράφθω περὶ [m] αὐτὴν ἡμικύκλιον τὸ Α Β Ε Γ· καὶ πρὸς ὀρθὰς ἤχθωσαν, τῇ μὲν Β Α, ἡ Α Δ, τῇ δὲ Β Γ ἡ Γ Ζ. Καὶ παρακείσθω κανὼν κινούμενος πρὸς τῷ Β, τέμνων τὰς Α Δ, Γ Ζ· καὶ κεκινήσθω περὶ μὲν τὸ Β, ἄχρις ἂν ἡ ἀπὸ τοῦ Β ἐπὶ τὸ Δ

[i] ἴσην [k] δηλονότι [l] ἴσον τὸ [m] αὐτῶν

Digitized by Google

ἴση γέγηται τῇ ἀπὸ τοῦ Ε ἐπὶ τὸ Ζ, τετέσι τῇ μεταξὺ τῆς τε περιφερείας τοῦ κύκλου καὶ τῆς ΓΖ. Νενοήσθω οὖν ἔχον τὸ κανόνιον σχῆμα, οἷαν [n] ἔχει ἡ ΔΒΕΖ, ἴσης οὔσης, ὡς εἴρηται, τῆς ΔΒ τῇ ΕΖ. Λέγω ὅτι αἱ ΑΔ, ΓΖ μέσαι ἀνάλογόν εἰσι τῶν ΑΒ, ΒΓ. Νενοήσθωσαν γὰρ ἐκβεβλημέναι αἱ ΔΑ, ΖΓ, καὶ συμπίπτουσαι κατὰ τὸ Θ. Φανερὸν δὴ ὅτι παραλλήλων ὐσῶν τῶν ΒΑ, ΖΘ, ἡ πρὸς [o] τὸ Θ γωνία ὀρθή ἐστι· καὶ ὁ ΑΕΓ κύκλος ἀναπληρούμενος ἥξει καὶ ἐφὰ τὸ Θ. Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΔΒ τῇ ΕΖ, καὶ τὸ ὑπὸ ΕΔΒ ἄρα [p] ἴσον ἐστὶ τῷ ὑπὸ ΒΖΕ. Ἀλλὰ τὸ μὲν ὑπὸ ΕΔΒ, ἴσον ὅτι τῷ ὑπὸ ΘΔΑ· ἑκάτερον γὰρ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ἐφαπτομένης ὑπὸ τοῦ Δ. Τὸ δὲ ὑπὸ ΒΖΕ ἴσον τῷ ὑπὸ ΘΖΓ· ἑκάτερον γὰ ὁμοίως ἴσον ἐστὶ [q] τῷ ἀπὸ τῆς ἐφαπτομένης ἀπὸ τοῦ Ζ. Ὡς τε καὶ τὸ ὑπὸ ΘΔΑ ἴσον ἐστὶ τῷ ὑπὸ ΘΖΓ· καὶ ἐφὰ τοῦτο ἐστὶν ὡς ἡ ΔΘ πρὸς ΘΖ, οὕτως ἡ ΓΖ πρὸς ΔΑ. Ἀλλ' ὡς ἡ ΘΔ πρὸς ΘΖ, οὕτως ἥ τε ΒΓ πρὸς ΓΖ, καὶ ἡ ΔΑ πρὸς ΑΒ. Τριγώνου γὰρ τοῦ ΔΘΖ, παρὰ μὲν τὴν ΔΘ, ἦκται ἡ ΒΓ, παρὰ δὲ τὴν ΘΖ ἡ ΒΑ. Ἔστιν ἄρα ὡς ἡ ΒΓ πρὸς ΖΓ, ἡ ΓΖ πρὸς ΔΑ καὶ ἡ ΔΑ πρὸς ΑΒ· ὅπερ προέκειτο δεῖξαι.



Ἰστέον δέ, ὅτι ἡ τοιαύτη κατασκευὴ σχεδόν ἡ αὐτή ἐστι τῇ ὑπὸ [r] Ἥρωνος κατασκευῇ. Τὸ γὰρ ΒΘ παραλληλόγραμμον ταυτόν ἐστι τῷ τῆς τοῦ Ἥρωνος κατασκευῆς, καὶ αὐταὶ αἱ προσεκβαλλόμεναι πλευραὶ αἱ ΘΑ, ΘΓ, καὶ ὁ πρὸς τῷ Β κινούμενος κανών. Ταύτῃ δὲ μόνον διαφέρει, ὅτι ἐκεῖ μὲν μέχρι τοσούτου ἐκινοῦμεν τὸν Β τὸν κάνονα, ἄχρις ἂν αἱ ἀπὸ τῆς διχοτομίας τῆς ΑΓ, τετέσι τοῦ Κ, ἴσαι ὑπ' αὐτοῦ ἀπετέμνοντο πρὸς ταῖς ΘΔ, ΘΖ προσπίπτουσαις, ὡς αἱ ΚΔ, ΚΖ· ἐνταῦθα δὲ ἄχρις ἂν ἡ ΔΒ ἴση γένηται τῇ ΕΖ. Ἐφ' ἑκατέρας δὲ κατασκευῆς τὸ αὐτὸ ἀκολουθεῖ. Τὸ δὲ νῦν εἰρημένον πρὸς χρῆσιν εὐθετώτερον· τὰς γὰρ ΔΒ, ΕΖ ἴσας τηρεῖν ἐνδέχεται, διῃρημένου τοῦ ΔΖ κανόνος εἰς ἴσα καὶ συνεχῆ. Πολὺ γὰρ εὐκολώτερον τοῦ καχλίνῳ διαπειράζειν τὰς ἀπὸ τοῦ Κ ἴσας πρὸς [s] τὰ Δ, Ζ.

citur rectæ æqualis fiat, quæ ducitur a puncto E ad Z; nempe illi, quæ inter circumferentiam circuli, et ΓZ interjicitur. Itaque intelligatur regula hæc ad ſitum perveniſſe ΔBEZ, ubi primum fuerit ΔB ipſi EZ, ut dictum eſt, æqualis. Dico rectas AΔ, ΓZ medias inter AB, BΓ proportionales eſſe. Intelligantur enim productæ eſſe rectæ ΔA, ZΓ, eædemque in puncto Θ concurriſſe. Manifeſtum utique eſt, cum BA, ZΘ parallelæ ſint, angulum, qui ad punctum Θ eſt, rectum eſſe: ideoque fore, ut ſi circulus AEΓ perficiatur, per id punctum tranſeat. Quoniam igitur æqualis eſt BΔ ipſi EZ, æquale etiam eſt ſpatium, quod ſub EΔB continetur, ſpatio, quod continetur ſub BZE. Æquale autem eſt ſpatium quidem, quod ſub EΔB continetur, ſpatio, quod continetur ſub ΘΔA: utrumque enim quadrato eſt æquale, quod a recta, quæ circulum a puncto Δ contingit, deſcribitur. Spatium vero, quod ſub BZE continetur, ſpatio, quod continetur ſub ΘZΓ: utrumque enim pariter quadrato eſt æquale, quod a recta deſcribitur, quæ circulum contingit a puncto Z. Igitur etiam ſpatium, quod ſub ΘΔA continetur, ſpatio æquale eſt, quod continetur ſub ΘZΓ: et propterea ut ΔΘ ad ΘZ, ita ſe habet ΓZ ad ΔA. Ut autem ΘΔ ad ΘZ, ita ſe habet tum BΓ ad ΓZ, tum ΔA ad AB. Ductæ enim ſunt in triangulo ΔΘZ parallelæ alteri quidem lateri ΔΘ, BΓ; alteri vero ΘZ, BA. Ut igitur BΓ ad ZΓ, ita ſe habet ΓZ ad ΔA et ΔA ad AB: quod demonſtrandum proponebatur.

Illud vero ſciendum eſt, conſtructionem hanc eamdem fere, quæ Hieronis, eſſe. Nam parallelogrammum BΘ idem eſt atque illud Hieronis; eædemque ſunt productæ rectæ ΘA, ΘΓ; itemque regula, quæ circa punctum B movetur. Hoc uno inter ſe differunt, quod regula in illa quidem uſque eo circa punctum B movebatur, donec rectas æquales abſcinderet, quæ a puncto rectam AΓ in duas æquas partes ſecante, hoc eſt K, ad ΘΔ, ΘZ ducuntur, cujuſmodi ſunt KΔ, KZ; in hac vero eo uſque movetur, donec ΔB ipſi EZ æqualis fiat. Cæterum in utraque res eodem recidit. Sed altera, quam modo diximus, uſui accommodatior eſt: cum obtineatur, ut ΔB, EZ æquales deprehendantur, regula in æquas partes eaſque continuas diviſa. Quod ſane longe facilius eſt, quam circino explorare, an quæ a puncto K ad Δ, Z ducuntur, æquales ſint.

[t] ΩΣ ΑΠΟΛΛΩΝΙΟΣ.

Ἔστωσαν αἱ δοθεῖσαι δύο εὐθεῖαι, ὧν δεῖ δύο μέσας ἀνάλογον εὑρεῖν, αἱ ΒΑΓ, ὀρθὴν περιέχουσαι γωνίαν τὴν πρὸς τῷ Α. [u] Καὶ κέντρῳ μὲν τῷ Β, διαστήματι δὲ τῷ ΑΓ, κύκλου καὶ [w] περιφέρεια γεγράφθω ἡ ΚΘΛ· καὶ πάλιν κέντρῳ [x] τῷ Γ, καὶ διαστήματι τῷ ΑΒ, κύκλου [y] περιφέρεια γεγράφθω ἡ ΜΘΝ, καὶ τεμνέτω τὴν ΚΘΛ κατὰ τὸ Θ, καὶ ἐπι-


QUA APOLLONIUS.

Sint datæ duæ rectæ, quas inter duas proportionales medias invenire oporteat, BAΓ: eædemque rectam, qui ad punctum A eſt, angulum comprehendant. Deſcribatur centro quidem B, intervallo vero AΓ circumferentia circuli KΘΛ: rurſuſque centro Γ, et intervallo AB circumferentia circuli MΘN; quæ quidem priorem illam KΘΛ in puncto Θ ſecet; et jungantur ΘA,

[n] ἔχει ἡ ΔΒΕΖ, ἴσης οὔσης ὡς εἴρηται τῆς ΔΒ τῇ ΕΖ. Λέγω ὅτι in MS. deſunt. [o] τὸ Γ [p] In MS. ἴσον deeſt. [q] τῷ ex MS. [r] Ἥρωνος. Τὸ γὰρ ΒΘ παραλληλόγραμμον τὸ αὐτό ἐστι τῷ ληφθέντι ἐπὶ τῆς Ἥρωνος κατασκευῆς καὶ αἱ προσεκβαλλόμεναι [s] τὸ ΚΖ [t] Hæc in MS. deſunt. [u] κὴ ex MS. [w] περιφέρειαν [x] τῷ Λ [y] περιφέρειαν

Digitized by Google

Θ B, Θ Γ. Parallelogrammum igitur eſt B Γ, ejuſque diameter Θ A. Secetur Θ A in duas æquas partes in puncto Ξ: centroque Ξ circulus deſcribatur qui rectas A B, A Γ ſecet ad puncta Δ, E productas; ita ut puncta Δ, E, et Θ in directo jaceant. Hoc autem fiet, ſi regula rectas A Δ, A E ſecans uſque eo circa punctum Θ moveatur, donec rectæ, quæ a puncto Ξ ad Δ, E ducuntur, æquales fiant.




Hoc enim quando contigerit, confectum erit quod quæritur. Nam conſtructio eadem quæ Hieronis, et Philonis eſt. Quare conſtat eamdem quoque demonſtrationem huic convenire.

ζεύχθωσαν αἱ Θ A, Θ B, Θ Γ. Παραλληλόγραμμον ἄρα ἐστὶ τὸ B Γ, διάμετρος δὲ αὐτοῦ ἡ Θ A. Τετμήσθω δίχα ἡ Θ A τῷ Ξ· καὶ κέντρῳ τῷ Ξ γεγράφθω κύκλος τέμνων τὰς A B, A Γ ἐκβληθείσας κατὰ τὰ Δ, E· ὥς τε μέντοι τὰ Δ, E ἐπ' εὐθείας εἶναι τῷ Θ. Ὅπερ ἂν γένοιτο κανονίς κινεμένη περὶ τὸ Θ, τέμνοντος τὰς A Δ, A E, καὶ παραγομένη ἐπὶ τοσοῦτον, ἄχρις ἂν αἱ ἀπὸ τοῦ Ξ ἐπὶ τὰ Δ, E ἴσαι γένωνται.

Τούτου γὰρ γινομένου, [z] ἔσται τὸ ζητούμενον. Ἡ γὰρ αὐτὴ κατασκευή ἐστι τῇ ὑπὸ Ἥρωνος καὶ Φίλωνος γεγραμμένῃ. Καὶ [a] δῆλον ὅτι καὶ ἡ ἀπόδειξις ἡ αὐτὴ ἁρμόσει.

QUA DIOCLES IN LIBRO DE IGNIARIIS.

Ducantur in circulo duæ diametri ad angulos inter ſe invicem rectos A B, Γ Δ: et abſcindantur ab utraque parte puncti B æquales duæ circuli circumferentiæ E B, B Z: ductaque per punctum Z recta Z H ipſi A B parallela, jungatur Δ E. Dico rectas Z H, H Δ duas eſſe proportionales medias inter Γ H, H Θ. Ducatur enim per punctum E ipſi A B parallela E K. Æqualis eſt igitur tum E K ipſi Z H, tum K Γ ipſi H Δ. Quod quidem manifeſtum fuerit, rectis lineis a puncto Λ ad E, et Z junctis. Æquales enim ſunt anguli Γ Λ E, Z Λ Δ; ſique recti, qui ad puncta ſunt K et H. Igitur omnia etiam omnibus æqualia ſunt; cum Λ E ipſi Λ Z ſit æqualis; ideoque etiam reliqua Γ K reliquæ H Δ. Quoniam igitur ut Δ K ad K E, ita ſe habet Δ H ad H Θ; et ut Δ K ad K E, ita E K ad K Γ; media enim inter Δ K, K Γ proportionalis eſt E K; ideo ut Δ K ad K E, et E K ad K Γ, ita ſe habet Δ H ad H Θ. Æqualis eſt autem tum Δ K ipſi Γ H, tum K E ipſi Z H, tum K Γ ipſi H Δ. Ut igitur Γ H ad H Z, ita ſe habet Z H ad H Δ, et Δ H ad H Θ. Itaque ſi ab utraque puncti B parte æquales ſumantur circumferentiæ M B, B N; et per punctum N ducatur N Ξ ipſi A B parallela; jungaturque Δ M, erunt rurſus inter Γ Ξ, Ξ O proportionales mediæ N Ξ, Ξ Δ. Ductis autem hoc pacto pluribus parallelis, iiſque continuis inter puncta B, Δ; poſitiſque circumferentiis iis, quæ inter has, et punctum B interjiciuntur, æqualibus aliis a puncto B ad Γ circumferentiis; junctiſque ordine a puncto Δ ad alia puncta eodem modo, quo Δ E, Δ M junctæ ſunt, rectis lineis: ſecabuntur utique parallelæ, quæ inter puncta B, Δ interjiciuntur, in aliquibus punctis, cujuſmodi ſunt in appoſita figura O, Θ. Quæ puncta ſi admota regula juncta rectis lineis fuerint, deſcribetur in circulo quædam linea, in qua ſumpto quolibet puncto, ductaque per ipſum recta



ΩΣ ΔΙΟΚΛΗΣ ΕΝ ΤΩ ΠΕΡΙ ΠΥΡΙΩΝ.


Ἐν κύκλῳ ἤχθωσαν δύο διάμετροι πρὸς ὀρθὰς αἱ A B, Γ Δ· καὶ δύο περιφέρειαι ἴσαι ἀπειλήφθωσαν ἐφ' ἑκατέρα τοῦ B αἱ E B, B Z· καὶ διὰ τοῦ Z παράλληλος τῇ A B, ἤχθω ἡ Z H, καὶ ἐπεζεύχθω ἡ Δ E. Λέγω ὅτι τῶν Γ H, H Θ δύο μέσαι ἀνάλογόν εἰσι αἱ Z H, H Δ. Ἤχθω γὰρ διὰ τοῦ E τῇ A B παράλληλος ἡ E K. Ἴση ἄρα ἐστὶν ἡ μὲν E K τῇ Z H, ἡ δὲ K Γ τῇ H Δ. Ἔσαι γὰρ τοῦτο δῆλον, ἀπὸ τοῦ Λ ἐπὶ τὰ E, Z ἐπιζευχθεισῶν εὐθειῶν. Ἴσαι γὰρ γίνονται αἱ ὑπὸ Γ Λ E, Z Λ Δ, καὶ ὀρθαὶ αἱ πρὸς τοῖς K, H. Καὶ πάντα ἄρα πᾶσιν, [b] ἀφ' ἑνὸς τὴν Λ E τῇ Λ Z ἴσην εἶναι· καὶ λοιπὴ ἄρα ἡ Γ K τῇ H Δ ἴση ἐστίν. Ἐπεὶ οὖν ἐστιν ὡς ἡ Δ K πρὸς K E, ἡ Δ H πρὸς H Θ· ἀλλ' ὡς ἡ Δ K πρὸς K E, ἡ E K πρὸς K Γ· μέση γὰρ ἀνάλογον ἡ E K τῶν Δ K, K Γ· ὡς ἄρα ἡ Δ K πρὸς K E, καὶ ἡ E K πρὸς K Γ, οὕτως ἡ Δ H πρὸς H Θ. Καί ἐστιν ἴση ἡ μὲν Δ K τῇ Γ H, ἡ δὲ K E τῇ Z H, ἡ δὲ K Γ τῇ H Δ. Ὡς ἄρα ἡ Γ H πρὸς H Z, ἡ Z H πρὸς H Δ, οὕτω ἡ Δ H πρὸς H Θ. Ἐὰν δὴ παρὰ ἑκατέρα τῶν B πληθῶσι περιφέρειαι ἴσαι [c] M B, B N· καὶ διὰ μὲν τοῦ N παράλληλος ἀχθῇ τῇ A B ἡ N Ξ, ἐπιζευχθῇ δὲ ἡ Δ M, ἔσονται πάλιν τῶν Γ Ξ, Ξ O μέσαι ἀνάλογον αἱ N Ξ, Ξ Δ. Πλείονων δ' ὄντων καὶ συνεχῶν παραλλήλων ἐκβληθεισῶν μεταξὺ τῶν B, Δ, καὶ ταῖς ἀπολαμβανομέναις ὑπ' αὐτῶν περιφερείαις πρὸς τῷ B ἴσων τεθεισῶν ἀπὸ τοῦ B ὡς ἐπὶ τὸ Γ, καὶ δὴ τεταγμένα σημεῖα ἐπιζευχθεισῶν εὐθειῶν ἀπὸ τοῦ Δ, ὡς τῶν [d] ὁμοίως ταῖς Δ E, Δ M· τμηθήσονται αἱ παράλληλοι αἱ μεταξὺ τῶν B, Δ κατά τινα σημεῖα, [e] ὡς ἐπὶ τῆς προκειμένης καταγραφῆς τὰ O, Θ. Ἐφ' ἃ κανόνος παραθέσει ἐπιζεύξαντες εὐθείας, ἔξομεν καταγεγραμμένην ἐν τῷ κύκλῳ τινὰ γραμμήν, ἐφ' ἧς ἐὰν λημφθῇ τυχὸν σημεῖον, καὶ δι' αὐτοῦ παράλληλος ἀχθῇ τῇ A B [f] ἔσονται ἡ

[a] ἴσω [a] δηλονότι [b] διὰ τὸ τὴν A B [c] αἱ M B [d] ὁμοίων [e] In MS. ὡς deeſt. [f] ἴσω ἡ

Digitized by Google

ἐλχθεῖσα, καὶ ἡ ἀπολαμβανομένη ὑπ' αὐτῆς ἀπὸ τῆ διαμέτρυ πρὸς τῷ Δ μέσαι ἀνάλογον τῆς τε ἀπολαμβανομένης ὑπ' αὐτῆς ὑπὸ τῆς διαμέτρυ πρὸς τῷ Γ σημείῳ, καὶ τῦ μέρους αὐτῆς τοῦ ἀπὸ [g] τοῦ ἐν τῇ γραμμῇ σημείυ ἐπὶ τὴν Γ Δ διάμετρον.

Τούτων προπαρασκευασμένων, ἔστωσαν αἱ δοθεῖσαι δύο εὐθεῖαι, ὧν δεῖ δύο μέσας ἀνάλογον εὑρεῖν, αἱ Α, Β. Καὶ ἔστω κύκλος ἐν ᾧ δύο διάμετροι πρὸς ὀρθὰς ἀλλήλαις αἱ Γ Δ, Ε Ζ· καὶ γεγράφθω ἐν αὐτῷ ἡ διὰ τῶν συνεχῶν σημείων γραμμή, ὡς προείρηται, ἡ Δ Θ Ζ. Καὶ γεγονέτω ὡς ἡ Α πρὸς τὴν Β, ἡ Γ Η πρὸς Η Κ· καὶ διῆχθω ἡ Γ Κ, καὶ ἐκβληθεῖσα τεμνέτω τὴν γραμμὴν κατὰ τὸ Θ· καὶ διὰ τῦ Θ τῇ Ε Ζ παράλληλος ἤχθω ἡ Λ Μ. Διὰ ἄρα τὰ προγεγραμμένα τῶν Γ Λ, Λ Θ μέσαι ἀνάλογόν εἰσι αἱ Μ Λ, Λ Δ. Καὶ ἐπεί ἐστιν ὡς ἡ Γ Λ πρὸς Λ Θ, οὕτως ἡ Γ Η πρὸς Η Κ, ὡς δὲ ἡ Γ Η πρὸς Η Κ, οὕτως ἡ Α πρὸς τὴν Β· ἐὰν ἐν τῷ αὐτῷ λόγῳ ταῖς Γ Λ, Λ Μ, Λ Δ, Λ Θ παρεμβάλωμεν μέσας τῶν Α, Β, ὡς τὰς Ν, Ξ, ἔσονται εἰλημμέναι τῶν Α, Β μέσαι ἀνάλογον αἱ Ν, Ξ. Ὅπερ ἔδει εὑρεῖν.




ipsi Λ Β parallela; erunt quæ ducta est, quamque ipsa a diametro versus punctum Δ abscindit, proportionales mediæ inter eam, quam abscindit item a diametro versus punctum Γ, eamque ejus partem, quæ puncto in linea sumpto, et diametro Γ Δ concluditur.

His ita confectis, sint datæ duæ rectæ, quas inter duas proportionales medias invenire oportet, A, B. Sit autem circulus cujus duæ diametri Γ Δ, Ε Ζ ad rectos angulos sese invicem secent: describaturque in eo per continua puncta, ut supra dictum est, linea Δ Θ Ζ. Porro fiat, ut A ad B ita Γ Η ad Η Κ; junctaque Γ Κ eademque producta lineam ipsam secet in puncto Θ; et ducatur per id punctum ipsi Ε Ζ parallela Λ Μ. Itaque ex his, quæ supra diximus, mediæ inter Γ Λ, Λ Θ proportionales sunt Μ Λ, Λ Δ. Et quoniam ut Γ Λ ad Λ Θ, ita se habet Γ Η ad Η Κ; et ut Γ Η ad Η Κ, ita Α ad Β; si mediæ inter Α, Β interjiciantur Ν, Ξ pro eadem illa ratione, quam invicem habent Γ Λ, Λ Μ, Λ Δ, Λ Θ; sumptæ utique fuerint mediæ inter Α, Β proportionales Ν, Ξ. Quod facere oportebat.

ΩΣ ΠΑΠΠΟΣ [a] Ἐν Μηχανικαῖς εἰσαγωγαῖς.

QUA PAPPUS In mechanicis Institutionibus.

Προέθετο μὲν ὁ Πάππος κύβον εὑρεῖν πρὸς τὸν δοθέντα κύβον λόγον ἔχοντα δεδομένον. Καὶ ὡς πρὸς τὴν τοιαύτην [b] πρότασιν καὶ τὰ ἀπὸ τῆς ἀποδείξεως αὐτῷ προέρχεται. Δῆλον δὲ ὅτι τύτυ εὑρισκομένυ, καὶ τὸ προκείμενον εὑρίσκεται. Δύο γὰρ δοθεισῶν εὐθειῶν, [i] ἐὰν ὀφειλυσῶν μέσων εὑρεθῆναι, ἡ δευτέρα εὑρέθη, καὶ ἡ τρίτη αὐτόθεν δοθήσεται. Γεγράφθω γάρ, ὡς φησὶν αὐτὸς κατὰ λέξιν, ἡμικύκλιον τὸ Α Β Γ· καὶ ἀπὸ τῦ Δ κέντρυ πρὸς ὀρθὰς ἤχθω ἡ Δ Β, καὶ κινείσθω κανόνιον περὶ τὸ Α σημεῖον· ὥστε τὸ μὲν ἓν πέρας αὐτῦ πεπερεῖσθαι τυλίῳ τινὶ κατὰ τὸ Α [k] σημεῖον, τὸ δὲ λοιπὸν μῆκος, ὡς πρὸς κέντρον περὶ τὸ τυλάριον κινείσθω μεταξὺ τῶν Β, Γ. Τούτων δὲ κατασκευασμένων ἐπιτετάχθω δύο κύβους εὑρεῖν, λόγον ἔχοντας πρὸς ἀλλήλους τὸν ἐπιταχθέντα. Καὶ τῷ λόγῳ ὁ αὐτὸς πεποιήσθω ὁ τῶν Β Δ πρὸς Δ Ε· καὶ διῆχθω ἡ Γ Ε ἐκβεβλήσθω ἐπὶ τὸ Ζ. Παρεγέσθω δὴ τὸ κανόνιον μεταξὺ τῶν Β, Γ, ἕως [l] οὗ τὸ ἀπολαμβανόμενον αὐτῦ μέρος μεταξὺ τῶν Ζ Ε, Ε Β εὐθειῶν, ἴσον γένηται τῷ μι-



Proposuit sibi Pappus cubum invenire, qui ad datum cubum datam rationem habeat. Quæ autem demonstratio ab eo instituitur rei huic conficiendæ inservit. Manifestum enim est, cubo hoc invento, quod propositum nobis est inventum iri. Datis siquidem duabus rectis; si mediæ inter ipsas inveniendæ sint, et secunda inventa fuerit, inventa erit et tertia. Describatur, ut ipse dicit, semicirculus ΑΒΓ; ducaturque a puncto Δ ad rectos angulos Δ Β: et moveatur regula circa punctum Α; ita ut ejus termini, alter quidem clavo cuidam ligneo ad punctum Α infixus sit, alter vero circa hunc clavum tamquam centrum inter puncta Β et Γ circumagatur. His ita confectis, propositum sit duos cubos invenire, qui propositam inter se invicem rationem habeant. Fiat ratio, quam habet Β Δ ad Δ Ε, eadem quæ data: junctaque Γ Ε producatur ad punctum Ζ. Circumagatur autem regula inter puncta Β, Γ usque eo, donec quæ pars ejus inter rectas Ζ Ε, Ε Β interjicitur, æqualis sit parti illi, quæ interjicitur inter rectam

[g] In MS. τοῦ deest. [h] πρόθεσιν [i] ἐὰν τῶν ὀφειλυσῶν μέσων ἡ δευτέρα [k] σημεῖον ἴσον. Τὸ [l] ἂν

Digitized by Google

Περιαγομένας γὰρ τᾶς AΘ γραμμᾶς, δῆλον ὡς τὸ μὲν Θ σαμεῖον κατὰ τᾶς ΘKH κύκλω περιφερείας ἐνηνεγμένον ἐστὶν ἰσοταχέως· τὸ δὲ A κατὰ τᾶς εὐθείας φερόμενον τὰν AΘ γραμμὰν πεπρόϊκε· καὶ τὸ Θ σαμεῖον κατὰ τᾶς τᾶ κύκλω περιφερείας φερόμενον, [e] τὰν ΘKZ περιφέρειαν· τὸ δὲ A τὰν AE εὐθεῖαν· καὶ πάλιν τό τε A σαμεῖον [f] τὰν AΔ γραμμάν· καὶ τὸ Θ τᾶν ΘKH περιφερειᾶν, ἑκάτερον ἰσοταχέως αὐτὸ ἑαυτῷ φερόμενον. Δῆλον ἂν, ὅτι τὸν αὐτὸν ἔχοντι λόγον ἀ AE ποτὶ τὰν AΔ, ὃν ἀ ΘKZ περιφέρεια ποτὶ τὰν ΘKH περιφέρειαν. Δέδεικται γὰρ τοῦτο ἔν τοῖς πρώτοις. Ὁμοίως δὲ δειχθήσεται καὶ εἴκα ἀ ἑτέρα τᾶν ποτιπιπτουσᾶν ἐπὶ τὸ πέρας τᾶς ἕλικος ποτιπίπτῃ, τὸ αὐτὸ συμβαίνει.

PROP. XV. THEOR.

Si in helicen secundo orbe descriptam duæ incidant rectæ ab helicis principio; hæ eamdem inter se invicem rationem habebunt, quam cir-


ΠΡΟΤΑΣΙΣ ιε'.

Αἴκα [g] ποτὶ τὰν ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμέναν ἕλικα [h] ποτιπίπτωντι εὐθεῖαι ἀπὸ τᾶς ἀρχᾶς τᾶς ἕλικος, τὸν αὐτὸν ἐξόντι λόγον αἱ εὐθεῖαι ποτ'

[a] τᾶν γωνιᾶν [b] διπλασίαι [c] τὰν περιφέρειαν
[d] ποτιπιπτόντων· τῶν δὲ [e] τᾶν ΘKZ περιφερειᾶν· τὸ δὲ A
[f] τᾶν AΔ γραμμᾶν [g] κατὰ τὰν [h] ποτιπίπτοντι

ἀλλάλας, ὃν αἱ εἰρημέναι περιφέρειαι μεθ' ὅλας τὰς τῦ κύκλυ περιφερείας λαμβανομένας.

Ἔστω ἕλιξ ἐφ' ἃς ἀ ΑΒΓΔΘΕΛΜ, ἀ μὲν ΑΒΓΔΘ ἐν τῇ πρώτῃ περιφορᾷ γεγραμμένα, ἀ δὲ ΘΕΛΜ ἐν τῇ δευτέρᾳ· καὶ ποτιπιπτέτωσαν εὐθεῖαι αἱ ΑΕ, ΑΛ. Δεικτέον ὅτι τὸν αὐτὸν ἔχοντι λόγον ἀ ΑΛ ποτὶ τὰν ΑΕ, ὃν ἀ ΘΚΖ περιφέρεια μεθ' ὅλας τὰς τοῦ κύκλυ περιφερείας, [1] ποτὶ ΘΚΗ μεθ' ὅλας τὰς τῦ κύκλυ περιφερείας.



Ἐν ὅσῳ γὰρ χρόνῳ τὸ Α σαμεῖον κατὰ τὰς εὐθείας φερόμενον, τὰν ΑΛ γραμμὰν διαπορεύεται, καὶ τὸ Θ σαμεῖον κατὰ τὰς τῦ κύκλυ περιφερείας φερόμενον, ὅλαν τε [k] τὰν τῦ κύκλυ περιφέρειαν, καὶ ἔτι τὰν ΘΚΖ περιφέρειαν διαπορεύεται· καὶ πάλιν τὸ Α σαμεῖον [l] τὰν ΑΕ εὐθεῖαν, καὶ τὸ Θ ὅλαν τε [m] τὰν τῦ κύκλυ περιφέρειαν, καὶ ἔτι τὰν ΘΚΗ, ἑκάτερον ἰσοταχέως αὐτὸ [n] αὑτῷ φερόμενον. Δῆλον δή, ὅτι τὸν αὐτὸν ἔχοντι λόγον ἀ ΑΛ γραμμὰ ποτὶ ταν ΑΕ, ὃν ἀ ΘΚΖ περιφέρεια μεθ' ὅλας τὰς τῦ κύκλυ περιφερείας, ποτὶ τὰν ΘΚΗ περιφέρειαν, μεθ' ὅλας τὰς τῦ κύκλυ περιφερείας.

Τὸν αὐτὸν δὴ τρόπον δειχθήσεται, καὶ αἶκα ποτὶ τὰν ἐν τᾷ τρίτᾳ περιφορᾷ γεγραμμᾶν ἕλικα [o] ποτιπεσῶντι εὐθείαι, τὸν αὐτὸν λόγον ἐχοῦντι ποτ' ἀλλάλας, ὃν αἱ εἰρημέναι περιφέρειαι μεθ' ὅλας τὰς τοῦ κύκλυ περιφερείας δὶς λαμβανομένας. Ὁμοίως δὲ καὶ αἱ ποτὶ τὰς ἄλλας ἕλικας ποτιπίπτυσαι δείκνυνται, ὅτι τὸν αὐτὸν ἔχοντι λόγον, ὃν αἱ εἰρημέναι περιφέρειαι μεθ' ὅλας τὰς τῦ κύκλυ περιφερείας τοσαυτάκις λαμβανομένας, ὅσος ἐστὶν [p] ὁ ἐνὶ ἐλάσσων ἀριθμὸς τᾶν περιφορᾶν· καὶ αἶκα ἀ [q] ποτιπίπτυσα ἀ ἑκατέρα ποτὶ τὸ πέρας τᾶς ἕλικος πίπτῃ.

Sit helix ΑΒΓΔΘΕΛΜ; ΑΒΓΔΘ quidem descripta primo orbe; ΘΕΛΜ vero orbe secundo: et incidant in eam rectæ ΑΕ, ΑΛ. Oportet demonstrare eamdem habere rationem ΑΛ ad ΑΕ, quam circumferentiam ΘΚΖ, una cum tota circuli circumferentia, ad circumferentiam ΘΚΗ, una cum tota circuli circumferentia.

Quanto enim tempore punctum Α, quod in recta fertur, lineam ΑΛ transmittit; tanto punctum Θ, quod fertur in circuli circumferentia, transmittit totam circuli circumferentiam, et amplius circumferentiam ΘΚΖ: quantoque rursus punctum Α lineam ΑΕ transmittit; tanto punctum Θ transmittit totam circuli circumferentiam, et amplius circumferentiam ΘΚΗ; ac utrumque fertur æquabiliter sibi ipsi. Constat igitur eamdem habere rationem ΑΛ ad ΑΕ, quam circumferentiam ΘΚΖ, una cum tota circuli circumferentia, ad circumferentiam ΘΚΗ, una cum tota circuli circumferentia.

Eodem modo demonstrabitur, et si in helicen tertio orbe descriptam rectæ inciderint, eamdem inter se invicem rationem habere, quam circumferentias, quas diximus, una cum tota circuli circumferentia semel atque iterum sumpta. Pariter autem et quæ in alias helices incidunt eamdem rationem habere demonstrabuntur, quam circumferentiæ, quas diximus, una cum tota circuli circumferentia toties sumpta, quotus est, unum si dempseris, orbium numerus; etiam si alterutra earum, quæ incidunt, in helicis terminum inciderit.

ΠΡΟΤΑΣΙΣ ις'.

Αἶκα τᾶς ἕλικος τᾶς [r] ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμᾶς εὐθεῖα γραμμὰ ἐπιψαύῃ, καὶ ἀπὸ τᾶς ἁφᾶς εὐθεῖα γραμμὰ ἐπιζευχθῇ ἐπὶ τὸ σαμεῖον, ὅ ἐστιν ἀρχὰ τᾶς ἕλικος· ἃς ποιεῖ γωνίας ἀ ἐφαπτομέναι ποτὶ τὰν ἐπιζευχθεῖσαν ἄνισοι ἐσοῦνται· ἃ μὲν ἐν τοῖς προαγομένοις ἀμβλεῖα, ἀ δὲ ἐν τοῖς ἑπομένοις ὀξεῖα.

Ἔστω ἕλιξ ἐφ' ἃς τὰ ΑΒΓΔΘ ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένα· καὶ ἔστω τὸ μὲν Α σαμεῖον ἀρχὰ τᾶς ἕλικος, ἀ δὲ ΑΘ εὐθεῖα ἀρχὰ τᾶς περιφορᾶς· ὁ τε πρῶτος κύκλος, ὁ ΘΚΗ. Ἐπιψαυέτω

PROP. XVI. Theor.

Si helicen primo orbe descriptam recta linea contigerit; et a contactu jungatur recta linea ad punctum, quod est principium helicis; anguli, quos cum ea, quæ juncta est, contingens efficit, erunt inæquales; et is quidem, qui in præcedentibus, obtusus; qui vero in sequentibus, acutus.


Sit helix ΑΒΓΔΘ primo orbe descripta: et sit punctum Α principium helicis; recta ΑΘ principium orbis; ΘΚΗ circulus primus. Contingat autem helicen recta quædam linea ΔΕΖ

[1] In MS. ποτὸ ΘΚΗ μεθ' ὅλας τὰς τοῦ κύκλυ περιφερείας desunt.
[k] τᾶν τῦ κύκλυ περιφιριιᾶν, καὶ ἔτι τᾶν ΘΚΖ περιφεριᾶν
[l] τᾶν ΑΕ εὐθειὰν
[m] τᾶν τῦ κύκλυ περιφεριᾶν· καὶ ἐπὶ τᾶν
[n] ἰαυτῷ
[o] ποτιπίπτοντι
[p] ὁ ἐν ἐλάσσονι
[q] ἀποπίπτουσα
[r] ἐν τῇ

Digitized by Google

in puncto Δ: et a puncto Δ ad punctum A jungatur Δ A. Oportet demonstrare Δ Z cum A Δ obtusum angulum efficere.

Describatur circulus Δ T N centro quidem A, intervallo autem A Δ. Necessarium igitur est, quæ circuli hujus circumferentia in præcedentibus est, intra helicen cadere; quæ vero in sequentibus, cadere extra; eo quod rectarum quæ a puncto A in helicen incidunt, quæ quidem sunt in præcedentibus, majores sunt quam A Δ; quæ vero in sequentibus, minores. Quod igitur angulus, qui sub A Δ Z continetur, acutus non sit, manifestum est; quoniam major est quam angulus semicirculi. Quod vero non sit rectus, hoc oportet demonstrare. Sit enim, si fieri potest, rectus. Igitur E Δ Z circulum Δ T N contingit. Atque fieri potest, ut a puncto A ad contingentem recta ejiciatur, ita ut quæ inter contingentem, et circuli circumferentiam recta interjicitur, ad eam, quæ ex centro circuli, minorem rationem habeat, quam, quæ interjicitur inter contactum rectamque ductam, circuli circumferentia, ad datam circumferentiam. Itaque ejiciatur A I; quæ helicen quidem secabit in puncto Λ, circumferentiam vero circuli in puncto P: habeatque recta P I ad A P minorem rationem, quam circumferentia Δ P ad circumferentiam Δ N T. Igitur etiam tota I A ad A P minorem rationem habet, quam circumferentia P Δ N T ad circumferentiam Δ N T; hoc est quam circumferentia Σ H K Θ ad circumferentiam H K Θ. Quam autem rationem habet circumferentia Σ H K Θ ad circumferentiam H K Θ, hanc habet recta A Λ ad A Δ. Hoc enim demonstratum est. Minorem igitur rationem habet A I ad A P, quam Λ A ad A Δ: quod fieri non potest. Æqualis est enim P A ipsi A Δ; major vero I A quam A Δ. Non est igitur rectus angulus, qui sub A Δ Z continetur. Demonstratus autem est neque esse acutus. Obtusus est igitur. Quare reliquus est acutus. Pariter autem demonstrabitur idem evenire, etiam si recta helicen contingens eam in ipsius termino contigerit.



Γεγράφθω κύκλος ὁ Δ T N, κέντρῳ μὲν τῷ A, διαστήματι δὲ τῷ A Δ. Ἀναγκαῖον δὴ τότε τὴν κύκλου τὰν μὲν ἐν τοῖς προαγομένοις περιφέρειαν [a] ἐν τοῖς πίπτειν τὰς ἕλικας, [b] τὰν δὲ ἐν τοῖς ἑπομένοις ἐκτός· διὰ τὸ τᾶν ἀπὸ τᾶ A ποτὶ τὰν ἕλικα προσιπιπτουσᾶν εὐθειᾶν, τὰς μὲν ἐν τοῖς προαγομένοις μείζονας εἶμεν τᾶς A Δ, τὰς δὲ ἐν τοῖς ἑπομένοις ἐλάσσονας. Ὅτι μὲν οὖν ἃ γωνία ἃ περιεχομένα ὑπὸ τᾶ A Δ Z, οὐκ ἐστὶν ὀξεῖα, δῆλον· ἐπειδὴ μείζων ἐστὶ τᾶς τοῦ ἡμικυκλίου. Ὅτι δὲ ὀρθὰ οὐκ ἐστί, δεικτέον [w] ὄν. Ἔστω γάρ, [w] εἰ δυνατόν, ὀρθά. Ἁ ἄρα E Δ Z ἅπτεται τοῦ Δ T N κύκλου. Δυνατὸν δή ἐστιν ἀπὸ τᾶ A ποτβαλεῖν εὐθεῖαν ποτὶ τὰν ἅπτουσαν, ὥς τε τὰν μεταξὺ τᾶς ἅπτουσας καὶ τᾶς τᾶ κύκλου περιφερείας εὐθεῖαν, ποτὶ τὰν ἐκ τᾶ κέντρου τᾶ κύκλου ἐλάσσονα λόγον ἔχειν, ἤπερ ἔχει ἃ μεταξὺ τᾶς ἀφᾶς καὶ τᾶς ποτιπιπτούσας περιφερείας, ποτὶ τὰν δοθεῖσαν περιφερείαν. Ποτιπιπτέτω δὴ ἃ A I. Τεμεῖ δὴ αὐτὰ τὰν μὲν ἕλικα κατὰ τὸ Λ, τὰν δὲ τᾶ Δ T N περιφέρειαν κύκλου κατὰ τὸ P· καὶ ἐκβεβλήσθω ἃ P I εὐθεῖα ποτὶ τὰν A P ἐλάσσονα λόγον τᾶ ὃν ἔχει ἃ Δ P περιφέρεια ποτὶ τὰν Δ N T περιφέρειαν. Καὶ ὅλα ἄρα ἃ I A ποτὶ τὰν A P ἐλάσσονα λόγον ἔχει, ἢ ἃ P Δ N T περιφέρεια ποτὶ τὰν Δ N T περιφέρειαν· τετέσιν, ὃν ἔχει ἃ Σ H K Θ περιφέρεια ποτὶ τὰν H K Θ περιφέρειαν. Ὃν δὲ ἃ Σ H K Θ περιφέρεια ποτὶ τὰν H K Θ περιφέρειαν, τοῦτον ἔχει ἃ Λ A εὐθεῖα ποτὶ τὰν A Δ. Δέδεικται γὰρ τοῦτο. Ἐλάσσονα ἄρα λόγον ἔχει ἃ A I ποτὶ τὰν A P, ἤπερ ἃ Λ A ποτὶ τὰν A Δ· ὅπερ ἀδύνατον. Ἴσα γὰρ ἃ P A τᾷ A Δ. [*] Οὐκ ἄρα ἐστὶν ὀρθὰ ἃ περιεχομένα ὑπὸ τᾶν A Δ Z. Δέδεικται δέ, ὅτι οὐδὲ ὀξεῖα. Ἀμβλεῖα ἄρα ἐστίν. Ὡς τε ἃ λοιπὰ ὀξεῖά ἐστιν. Ὁμοίως δὲ δειχθήσεται, καὶ αἴκα ἃ ἐπιψαύσα τᾶς ἕλικος κατὰ τὸ πέρας ἅπτηται, τὸ αὐτὸ συμβήσεται.

PROP. XVII. THEOR.

Quin imo si helicen secundo orbe descriptam recta contigerit, illud idem eveniet.

Contigat enim recta E Z helicen secundo orbe

ΠΡΟΤΑΣΙΣ ιζ'.


Καὶ τοίνυν αἴκα τᾶς ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμένας ἕλικος ἐπιψαύῃ ἃ εὐθεῖα, τὸ αὐτὸ συμβήσεται.

Ἐπιψαυέτω γὰρ ἃ E Z εὐθεῖα τᾶς ἐν τᾷ δευ-

[a] ἐν τῷ [b] τὴν [w] ἔτως [w] εἰ ex MS.

[*] Fortasse desint hæc verba: μείζων δὲ ἃ I A τᾶς A Λ

τερα περιφορᾶς γεγραμμένας ἕλικος κατὰ τὸ Δ, καὶ τὰ ἄλλα τὰ αὐτὰ τοῖς πρότερον καταγραφήσεται. Ὁμοίως δὴ τᾶς τᾶ Ρ Ν Δ περιφερείας κύκλω, τὰ μὲν ἐν τοῖς [x] προαγομένοις τᾶς ἕλικος ἐντὸς πεσοῦνται, τὰ δὲ ἐν τοῖς ἑπομένοις ἐκτός. Ἃ ἂν γωνία, ἃ ὑπὸ τᾶν Α Δ Ζ, ἀκ ἐστὶν ὀρθά, ἀλλὰ ἀμβλεῖα. Ἔστω γὰρ εἰ δυνατὸν ὀρθά. [y] Ἐπιψαύσει δὴ ἃ Ε Ζ τᾶ Ρ Ν Δ κύκλω κατὰ τὸ Δ. Ἀχθω δὴ πάλιν ποτὶ τὰν ἐπιψαύουσαν ἃ Α Ι, καὶ τεμνέτω τὰν μὲν ἕλικα κατὰ τὸ Χ, τὰν δὲ τᾶ Ρ Ν Δ κύκλω περιφέρειαν κατὰ τὸ Ρ· ἐχέτω δὲ ἃ Ρ Ι ποτὶ Ρ Α ἐλάσσονα λόγον, τᾶ ὃν ἔχει ἃ Δ Ρ περιφέρεια ποτὶ ὅλαν τὰν Ε Δ Ρ Ν κύκλω περιφέρειαν, καὶ ποτὶ τὰν Δ Ν Τ. Δέδεικται γὰρ τοῦτο δυνατὸν ἐόν. Καὶ ὅλα ἄρα ἃ Ι Α ποτὶ τὰν Α Ρ ἐλάσσονα λόγον ἔχει, ἢ ἃ Ρ Δ Ν Τ περιφέρεια μεθ' ὅλας τᾶς τοῦ κύκλω περιφερείας, ποτὶ τὰν Δ Ν Τ περιφέρειαν, μεθ' ὅλας τᾶς τᾶ κύκλω περιφερείας. Ἀλλ' ὃν λόγον ἔχει ἃ Ρ Δ Ν Τ [z] περιφέρεια μεθ' ὅλας τᾶς τᾶ Δ Ν Τ Ρ κύκλω περιφερείας, ποτὶ τὰν Δ Ν Τ περιφέρειαν, μεθ' ὅλας τᾶς Ε Δ Ν Τ Ρ κύκλω [a] περιφέρειαν, τοῦτον ἔχει τὸν λόγον ἃ Σ Η Κ Θ περιφέρεια, μεθ' ὅλας τᾶς τᾶ κύκλω περιφερείας τᾶς Θ Σ Η Κ, ποτὶ τὰν Η Κ Θ περιφέρειαν, μεθ' ὅλας τᾶς τᾶ Θ Σ Η Κ κύκλω περιφερείας. Ὃν δὲ λόγον ἔχοντι αἱ ὕστερον εἰρημέναι περιφέρειαι, τοῦτον ἔχει τὸν λόγον ἃ Χ Α εὐθεῖα ποτὶ τὰν Α Δ εὐθεῖαν. Δέδεικται γὰρ τοῦτο. Ἐλάσσονα ἄρα λόγον ἔχει ἃ Ι Α ποτὶ τὰν Α Ρ, ἢ ἃ Α Χ ποτὶ τὰν Α Δ· ὅπερ ἀδύνατον. Ἴσα μὲν γὰρ ἃ Ρ Α τᾶ Α Δ, μείζων δὲ ἃ Ι Α τᾶς Α Χ. Δῆλον ἂν ὅτι ἀμβλεῖά ἐστιν ἃ περιεχομένα ὑπὸ τᾶν Α Δ Ζ. Ὡς τε ἃ λοιπὰ ὀξεῖά ἐστι. Τὰ δ' αὐτὰ συμβήσεται, καὶ αἴκα ἃ ἐπιψαύουσα κατὰ τὸ πέρας τᾶς ἕλικος ἐπιψαύῃ.



Ὁμοίως δὲ δειχθήσεται, καὶ αἴκα τᾶς ἐν ἑπιπλοκᾶν γεγραμμένας ἕλικος ἐπιψαύῃ τις εὐθεῖα, καὶ αἴκα κατὰ τὸ πέρας αὐτᾶς, ὅτι ἀνίσως ποιήσει τὰς γωνίας ποτὶ τὰν ἀπὸ τᾶς ἁφᾶς, ἐπιζευχθεῖσαν ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος· καὶ τὰν μὲν ἐν τοῖς [b] προαγομένοις ἀμβλεῖαν, τὰν δὲ ἐν τοῖς ἑπομένοις, ὀξεῖαν.

ΠΡΟΤΑΣΙΣ ιη'.

Αἴκα τᾶς ἕλικος τᾶς ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμᾶς εὐθεῖα γραμμὰ ἐπιψαύῃ, κατὰ τὸ πέρας τᾶς ἕλικος· ἀπὸ δὲ τᾶ σαμείω, ὅ ἐστιν [c] ἐν ἀρχᾷ τᾶς ἕλικος, ποτ' ὀρθὰς ἀχθῇ τις τᾷ ἀρχᾷ τᾶς

descriptam in puncto Δ: eademque alia, quæ supra, fiant. Eadem ratione, quæ partes circumferentiæ circuli Ρ Ν Δ in præcedentibus sunt, intra helicen cadent; quæ vero in sequentibus, cadent extra. Igitur angulus, qui sub Α Δ Ζ continetur, rectus non est, sed obtusus. Sit enim, si fieri potest, rectus. Continget igitur Ε Ζ circulum Ρ Ν Δ in puncto Δ. Ducatur rursus ad contingentem recta Α Ι, quæ helicen quidem secet in puncto Χ, circumferentiam vero circuli Ρ Ν Δ in puncto Ρ: habeatque Ρ Ι ad Ρ Α minorem rationem, quam circumferentia Δ Ρ ad totam circumferentiam circuli Δ Ρ Ν, et ad circumferentiam Δ Ν Τ. Hoc enim fieri posse demonstratum est. Igitur etiam tota Ι Α ad Α Ρ minorem rationem habet, quam circumferentia Ρ Δ Ν Τ, una cum tota circuli circumferentia, ad circumferentiam Δ Ν Τ, una cum tota circuli circumferentia. Sed quam rationem habet circumferentia Ρ Δ Ν Τ, una cum tota circuli Δ Ν Τ Ρ circumferentia, ad circumferentiam Δ Ν Τ, una cum tota circuli Δ Ν Τ Ρ circumferentia, hanc habet circumferentia Σ Η Κ Θ, una cum tota circuli Θ Σ Η Κ circumferentia, ad circumferentiam Η Κ Θ, una cum tota circuli Θ Σ Η Κ circumferentia. Quam vero rationem habent, quas modo diximus, circumferentiæ, hanc habet recta Χ Α ad rectam Α Δ. Hoc enim demonstratum est. Minorem igitur rationem habet Ι Α ad Α Ρ, quam Α Χ ad Α Δ: quod fieri non potest. Æqualis est enim Ρ Α ipsi Α Δ; major vero Ι Α quam Α Χ. Constat igitur angulum, qui sub Α Δ Ζ continetur, obtusum esse. Quare reliquus est acutus. Eadem hæc evenient, etiam si recta contingens in helicis termino contigerit.

Pariter autem demonstrabitur, et si helicen quolibet orbe descriptam recta quædam contigerit, vel in ipsius termino, angulos efficere cum ea, quæ a contactu ad principium helicis juncta fuerit, inæquales: atque horum alterum, qui in præcedentibus est, obtusum; alterum vero, qui in sequentibus, acutum.

PROP. XVIII. Theor.


Si helicen primo orbe descriptam recta linea contigerit in ipsius termino: a puncto vero, quod est principium helicis, recta aliqua ducatur ad rectos angulos ei, quæ est principium orbis;

[x] προαγεμένοις [y] ἐπιψαύσει [z] Sic MS. [a] περιφιρίας [b] προηγεμένοις [c] In MS. deest ἐν

Digitized by Google

quæ ducta eſt recta cum contingente concurrit; quæque ejus pars inter contingentem, et principium orbis interjicitur, æqualis erit primi circuli circumferentiæ.

περιφορᾶς, ἀ ἀχθεῖσα συμπεσεῖται τᾷ ἐπιψαύσᾳ· καὶ ἀ μεταξὺ εὐθεῖα τᾶς ἐπιψαυούσας, καὶ τᾶς ἀρχᾶς τᾶς ἕλικος, ἴσα ἐσεῖται τᾷ τᾶ πρώτα κύκλα περιφερείᾳ.



Sit helix ΑΒΓΔ: et ſit punctum Α principium helicis: recta ΘΑ principium orbis: ΘΗΚ circulus primus. Contingat autem helicen in puncto Θ recta aliqua ΘΖ: ducaturque a puncto Α, ipſi ΘΑ ad rectos angulos, ΑΖ. Hæc utique concurret cum ΘΖ; quoniam ΖΘ, ΘΑ acutum angulum comprehendunt. Concurrat in puncto Ζ. Oportet demonſtrare ΖΑ circuli ΘΚΗ circumferentiæ æqualem eſſe.

Ἔστω ἕλιξ ἀ [d] ΑΒΓΔ· ἔστω δὲ τὸ Α σαμεῖον ἀρχὰ τᾶς ἕλικος· ἀ δὲ ΘΑ γραμμὰ ἀρχὰ τᾶς περιφορᾶς· ὁ δὲ ΘΗΚ κύκλος ὁ πρῶτος. Ἐπιψαυέτω δέ τις τᾶς ἕλικος κατὰ τὸ Θ, ἀ ΘΖ· καὶ ἀπὸ τοῦ Α ἄχθω [c] ποτ' ὀρθὰς τᾷ ΘΑ, ἀ ΑΖ. Συμπεσεῖται δὴ αὐτὰ ποτὶ τὰν ΘΖ· ἐπεὶ αἱ ΖΘ, ΘΑ ὀξεῖαν γωνίαν περιέχοντι. Συμπιπτέτω κατὰ τὸ Ζ. Δεικτέον ὅτι ἀ ΖΑ ἴσα ἐστὶ τᾷ τοῦ ΘΚΗ κύκλα περιφερείᾳ.


Si enim non eſt æqualis, aut major eſt, aut minor. Sit primo, ſi fieri poteſt, major. Jam ſumpſi rectam aliquam ΛΑ, minorem quidem quam rectam ΖΑ, majorem vero quam circumferentiam circuli ΘΗΚ. Itaque circulus quidam eſt ΘΗΚ: et recta in circulo minor quam diameter, ΘΗ: ratioque, quam habet ΘΑ ad ΑΛ, ea major eſt, quam habet dimidia rectæ ΗΘ, ad eam, quæ a puncto Α ad ipſam ΗΘ normalis ducitur; quoniam ea quoque eſt major, quam habet ΘΑ ad ΑΖ. Fieri igitur poteſt, ut a puncto Α ad productam ejiciatur recta ΑΝ; ita ut ΝΡ, quæ inter circumferentiam, et productam interjicitur, ad rectam ΘΡ eamdem rationem habeat, quam ΘΑ ad ΑΛ. Quare ΝΡ ad ΡΑ eamdem habebit rationem, quam ΘΡ ad ΑΛ. Habet autem ΘΡ ad ΑΛ minorem rationem, quam circumferentia ΘΡ ad circuli ΘΗΚ circumferentiam: recta enim ΘΡ minor eſt quam circumferentia ΘΡ; recta vero ΑΛ major quam circumferentia circuli ΘΗΚ. Habebit igitur etiam ΝΡ ad ΡΑ minorem rationem quam circumferentia ΘΡ ad circuli ΘΗΚ circumferentiam. Quare etiam tota ΝΑ ad ΑΡ minorem rationem habet quam circumferentia ΘΡ, una cum tota circuli circumferentia, ad circuli ΘΗΚ circumferentiam. Quam autem rationem habet circumferentia ΘΡ, una cum tota circuli ΘΗΚ circumferentia, ad circuli ΘΗΚ circumferentiam, hanc habet ΧΑ ad ΑΘ. Hoc enim demonſtratum eſt. Minorem igitur habet rationem ΝΑ ad ΑΡ, quam ΧΑ ad ΑΘ: quod fieri non poteſt. Major eſt enim ΝΑ quam ΑΧ; æqualis vero ΑΡ ipſi ΑΘ. Non eſt igitur major ΖΑ quam circuli ΘΗΚ circumferentia.

Εἰ γὰρ μή, ἤτοι μείζων ἐστὶν, ἢ ἐλάσσων. Ἔστω πρότερον, εἰ δυνατὸν, μείζων. Ἐλάσσων δή τινα εὐθεῖαν τὰν ΛΑ, τᾶς μὲν ΖΑ εὐθείας ἐλάσσονα, τᾶς δὲ τᾶ ΘΗΚ κύκλα περιφερείας μείζονα. Ἔστι δὴ κύκλος τις ὁ ΘΗΚ· καὶ ἐν τῷ κύκλῳ γραμμὰ ἐλάσσων τᾶς διαμέτρα ἀ ΘΗ· καὶ λόγος ὃν ἔχει ἀ ΘΑ ποτὶ ΑΛ, μείζων τοῦ ὃν ἔχει ἀ ἡμίσεια τᾶς ΗΘ, ποτὶ τὰν ἀπὸ τοῦ Α κάθετον ἐπ' αὐτὰν ἀγμέναν, διότι καὶ ὃν ἔχει ἀ ΑΘ ποτὶ ΑΖ. Δυνατὸν δ' ἔστιν, ἀπὸ τοῦ Α [f] ποτιβαλεῖν ποτὶ τὰν ἐκβεβλημέναν τὰν ΑΝ· ὥς τε τὰν μεταξὺ τᾶς περιφερείας καὶ τᾶς ἐκβεβλημένας τὰν ΝΡ, ποτὶ ΘΡ τὸν αὐτὸν ἔχειν λόγον, ὃν ἀ ΘΑ ποτὶ τὰν ΑΛ. Ἔχει δ' ἄν ἀ ΝΡ, ποτὶ τὰν ΡΑ λόγον, ὃν ἀ ΘΡ εὐθεῖα ποτὶ τὰν ΑΛ. Ἀ δὲ ΘΡ ποτὶ τὰν ΑΛ ἐλάσσονα λόγον ἔχει, ἢ ἀ ΘΡ περιφέρεια ποτὶ τὰν τοῦ ΘΗΚ κύκλα περιφέρειαν· ἀ μὲν γὰρ ΘΡ εὐθεῖα ἐλάσσων ἐστὶ τᾶς ΘΡ περιφερείας· ἀ δὲ ΑΛ εὐθεῖα τᾶς τᾶ ΘΗΚ κύκλα περιφερείας μείζων. Ἐλάσσονα δὴ λόγον ἔχει καὶ ἀ ΝΡ ποτὶ ΡΑ, ἢ ἀ ΘΡ περιφέρεια ποτὶ τὰν τοῦ ΘΗΚ κύκλα περιφέρειαν. Καὶ ὅλα ἄρα ἀ ΝΑ ποτὶ τὰν ΑΡ, ἐλάσσονα λόγον ἔχει ἤπερ ἀ ΘΡ περιφέρεια μετ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας ποτὶ τᾶν τοῦ ΘΗΚ κύκλου περιφέρειαν. Ὃν δὲ λόγον ἔχει ἀ ΘΡ περιφέρεια μετ' ὅλας τᾶς τοῦ ΘΗΚ κύκλα περιφερείας, ποτὶ τὰν τοῦ ΘΗΚ κύκλα περιφέρειαν, τοῦτον ἔχει ἀ ΧΑ ποτὶ τὰν ΑΘ. Δέδεικται γὰρ τοῦτο. [g] Ἐλάσσονα ἄρα λόγον ἔχει ἀ ΝΑ ποτὶ τὰν ΑΡ, ἤπερ ἀ ΧΑ ποτὶ τὰν ΑΘ· ὅπερ ἀδύνατον. Ἀ μὲν γὰρ ΝΑ μείζων ἐστὶ τᾶς ΑΧ· ἀ δὲ ΑΡ ἴσα ἐστὶ τᾷ ΘΑ. Οὐκ ἄρα μείζων ἀ ΖΑ τᾶς τοῦ κύκλα περιφερείας, τᾶς ΘΗΚ.

[d] ΑΒΓΔΘ σοια deeſt. [c] In Ed. Baſ. πρὸς ſed in MS. pro πρὸς eſt ſemper ποτὶ. [f] Sic MS. [g] In MS. ιλάσ-

Ἔσω δὴ πάλιν, εἰ δυνατὸν, ἐλάσσων ἡ ΖΑ τᾶς τῦ ΘΗΚ κύκλυ περιφερείας. Ἐλάσσον δὴ τινὰ εὐθεῖαν πάλιν τὰν ΑΛ, τᾶς μὲν ΑΖ μείζονα, τᾶς δὲ τοῦ ΘΗΚ κύκλου περιφερείας ἐλάσσονα· καὶ ἄγω ἀπὸ τᾶ Θ τὰν ΘΜ παράλληλον τᾷ ΑΖ. Πάλιν οὖν κύκλος ἐστὶν ὁ ΘΗΚ· καὶ ἐν αὐτῷ ἐλάσσων γραμμὰ τᾶς διαμέτρυ ἡ ΘΗ, καὶ ἄλλα ἐπιψαύυσα τῦ κύκλυ κατὰ τὸ Θ, καὶ λόγος ὃν ἔχει ἡ ΑΘ ποτὶ τὰν ΑΛ, ἐλάσσων τῦ ὃν ἔχει ἡ ἡμίσεια τᾶς ΗΘ, ποτὶ τὰν ἀπὸ τᾶ Α κάθετον ἐπ' αὐτὰν ἀγομέναν· ἐπειδὴ καὶ τῦ ὃν ἔχει ἡ ΘΑ ποτὶ ΑΖ, ἐλάσσων ἐστί. Δυνατὸν ἄρ' ἐστὶν ἀπὸ τᾶ Α ἀγαγεῖν τὰν ΑΠ ποτὶ τὰν ἐπιψαύυσαν· ὥς τε τὰν ΡΝ τὰν μεταξὺ τᾶς ἐν τῷ κύκλῳ εὐθείας, καὶ τᾶς περιφερείας ποτὶ τὰν ΘΠ, ἀπολαφθεῖσαν ἀπὸ τᾶς ἐπιψαυούσας, τοῦτον ἔχειν τὸν λόγον, ὃν ἔχει ἡ ΘΑ ποτὶ τὰν ΑΛ. Τεμεῖ δὴ ἡ ΑΠ τὸν μὲν κύκλον κατὰ τὸ Ρ, τὰν δὲ ἕλικα κατὰ τὸ Χ. Καὶ ἔχει καὶ ἐναλλὰξ τὸν αὐτὸν λόγον ἡ ΝΡ ποτὶ ΡΑ, ἃν ἡ ΘΠ ποτὶ ΑΛ. Ἀ δὲ ΘΠ ποτὶ τὰν ΑΛ μείζονα λόγον ἔχει, ἢ ἡ ΘΡ περιφέρεια ποτὶ τὰν ὑπ' ΘΗΚ κύκλυ περιφέρειαν· ἃ μὲν γὰρ ΘΠ εὐθεῖα μείζων ἐστὶ τᾶς ΘΡ περιφερείας, ἃ δὲ ΑΛ ἐλάσσων τᾶς τῦ ΘΗΚ κύκλυ περιφερείας. Μείζονα ἄρα λόγον ἔχει ἡ ΝΡ ποτὶ τὰν ΑΡ, ἢ ἡ ΘΡ περιφέρεια ποτὶ τὰν ὑπ' ΘΗΚ κύκλυ περιφέρειαν. Ὡς τε καὶ ἡ ΡΑ ποτὶ τὰν ΑΝ μείζονα λόγον ἔχει, ἢ ἡ τοῦ ΘΗΚ κύκλυ περιφέρεια ποτὶ τὰν ΘΚΡ περιφέρειαν. Ὃν δὲ λόγον ἔχει ἡ τῦ ΘΗΚ κύκλυ περιφέρεια ποτὶ τὰν ΘΚΡ περιφέρειαν, τοῦτον ἔχει ἡ ΘΑ εὐθεῖα ποτὶ τὰν ΑΧ. Δέδεικται γὰρ τοῦτο. Μείζονα ἄρα λόγον ἔχει ἡ ΡΑ ποτὶ τὰν ΑΝ, ἢ ἡ ΑΘ ποτὶ τὰν ΑΧ. Ὅπερ ἀδύνατον. Οὐκ ἄρα μείζων ἐστὶν, οὐδὲ ἐλάσσων ἡ ΖΑ τᾶς τῦ ΘΗΚ κύκλυ περιφερείας. Ἴσα ἄρα.

Sit rurſus, ſi fieri poteſt, ZA minor quam circuli ΘHK circumferentia. Jam ſumpſi rectam aliquam AΛ majorem quidem quam AZ; minorem vero quam circumferentiam circuli ΘHK: duxique a puncto Θ, ΘM ipſi AZ parallelam. Rurſus circulus eſt ΘKH: et recta in eodem, minor quam diameter, ΘH; itemque alia circulum contingens in puncto Θ: ratioque, quam habet AΘ ad AΛ, ea minor eſt, quàm habet dimidia rectæ HΘ ad eam, quæ a puncto A ad ipſam HΘ normalis ducitur; quoniam ea quoque eſt minor, quam habet ΘA ad AZ. Fieri igitur poteſt, ut a puncto A ad contingentem ejiciatur AΠ; ita ut PN, quæ inter rectam in circulo datam, et circumferentiam interjicitur, ad ΘΠ, quam ipſa AΠ a contactu abſcindit, eamdem rationem habeat, quam ΘA ad AΛ. Secet autem AΠ circulum in puncto P, et helicen in puncto X. Habebit, etiam permutando, eamdem rationem NP ad PA, quam ΘΠ ad AΛ. Habet autem ΘΠ ad AΛ majorem rationem, quam circumferentia ΘP ad circuli ΘHK circumferentiam: recta enim ΘΠ major eſt quam circumferentia ΘP; recta vero AΛ minor quam circuli ΘHK circumferentia. Habet igitur NP ad AP majorem rationem, quam circumferentia ΘP ad circuli ΘHK circumferentiam. Quare etiam PA ad AN majorem habet rationem, quam circumferentia circuli ΘHK ad circumferentiam ΘKP. Quam autem rationem habet circumferentia circuli ΘHK ad circumferentiam ΘKP, hanc habet recta ΘA ad AX. Hoc enim demonſtratum eſt. Majorem igitur habet rationem PA ad AN, quam AΘ ad AX. Quod fieri non poteſt. Neque igitur major, neque minor eſt ZA, quam circuli ΘHK circumferentia. Eſt igitur eidem æqualis.



ΠΡΟΤΑΣΙΣ ιθ'.

Εἰ δὲ κατὰ τᾶς ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμένας ἕλικος κατὰ τὸ πέρας ἐπιψαύῃ εὐθεῖα, καὶ ἀπὸ τᾶς ἀρχᾶς τᾶς ἕλικος ἀχθῇ τις ποτ' ὀρθὰς τᾷ ἀρχᾷ τᾶς περιφορᾶς, συμπεσεῖται αὐτὰ ποτὶ τὰν ἐπιψαύυσαν, καὶ ἰσοῦται ἡ εὐθεῖα ἡ μεταξὺ τᾶς ἐπιψαυούσας καὶ τᾶς ἀρχᾶς τᾶς ἕλικος, διπλασία τᾶς τοῦ δευτέρυ κύκλυ περιφερείας.


PROP. XIX. Theor.

At ſi helicen ſecundo orbe deſcriptam in ipſius termino recta contigerit; et ab helicis principio recta aliqua ducatur ad rectos angulos ei, quæ eſt principium orbis: hæc cum contingente concurret; quæque ejus pars inter contingentem, et helicis principium interjicitur, dupla erit circumferentiæ ſecundi circuli.

Digitized by Google

Sit enim helix ABΓΘ descripta primo orbe, helix vero ΘET, secundo: et circulus ΘKH sit primus, circulus vero TMN, secundus. Sit autem recta aliqua TZ helicen in puncto T contingens: ducaturque ZA ad rectos angulos ipsi TA. Hæc utique concurret cum TZ; eo quod demonstratum est angulum, qui sub ATZ continetur, esse acutum. Oportet demonstrare ZA circuli TMN circumferentiæ esse duplam.

Si enim non est dupla, vel major est quam dupla, vel minor. Sit primo, si fieri potest, major quam dupla: sumaturque recta aliqua ΛA minor quidem quam ZA, major vero quam dupla circumferentiæ circuli TMN. Itaque circulus quidam est TMN, rectaque in circulo descripta minor quam diameter, TN: ratioque, quam habet TA ad AΛ, ea major est, quam habet dimidia rectæ TN ad eam, quæ a puncto A ad ipsam TN normalis ducitur. Fieri igitur potest, ut a puncto A ad TN productam ejiciatur recta AΣ; ita ut PΣ, quæ inter circumferentiam, et productam interjicitur, ad rectam TP eamdem rationem habeat, quam TA ad AΛ. Secet autem AΣ circulum in puncto P, et helicen in puncto X. Habebit, etiam permutando, PΣ ad TA eamdem rationem, quam TP ad AΛ. Habet autem TP ad AΛ minorem rationem, quam circumferentia TP ad duplam circumferentiæ circuli TMN: recta enim TP minor est quam circumferentia TP, recta vero AΛ major quam dupla circumferentiæ circuli TMN. Habet igitur PΣ ad AP minorem rationem, quam circumferentia TP ad duplam circumferentiæ circuli TMN. Tota igitur ΣA ad AP minorem rationem habet, quam circumferentia TP una cum circuli TMN circumferentia bis sumpta, ad circuli TMN circumferentiam bis sumptam. Quam autem rationem habent, quas diximus, circumferentiæ, hanc habet XA ad AT. Hoc enim demonstratum est. Minorem igitur rationem habet AΣ ad AP, quam XA ad TA. Quod fieri non potest. Non est igitur ZA major quam dupla cir-



Ἔστω γὰρ ἡ μὲν ΑΒΓΘ ἕλιξ ἐν τῇ πρώτῃ περιφορᾷ γεγραμμένα, ἡ δὲ ΘΕΤ ἐν τῇ δευτέρᾳ· καὶ ὁ μὲν ΘΚΗ κύκλος ὁ πρῶτος, ὁ δὲ ΤΜΝ ὁ δεύτερος. Ἔστω δέ τις γραμμὰ ἁπτομένη τῆς ἕλικος κατὰ τὸ Τ, ἡ ΤΖ· ἡ δὲ ΖΑ ποτ' ὀρθὰς ἀχθω τῇ ΤΑ. Συμπεσεῖται δὴ [h] τὰ αὐτὰ τῇ ΤΖ, διὰ τὸ δεδεῖχθαι τὰν γωνίαν ὀξεῖαν οὖσαν τὰν ὑπὸ [i] τᾶν ΑΤΖ. Δεικτέον ὅτι ἡ ΖΑ εὐθεῖα διπλασίων ἐντὶ τᾶς τοῦ ΤΜΝ κύκλου περιφερείας.

Εἰ γὰρ μή ἐστι διπλασίων, ἤτοι μείζων ἐστὶν ἢ διπλασίων, ἢ ἐλάσσων ἐστὶν ἢ διπλασίων. Ἔστω πρότερον, εἰ δυνατόν, μείζων ἢ διπλασίων· καὶ λελάφθω τις εὐθεῖα ἡ ΛΑ τᾶς μὲν ΖΑ εὐθείας ἐλάσσων, τᾶς δὲ τοῦ ΤΜΝ κύκλου περιφερείας μείζων ἢ διπλασίων. Ἔστι δή τις κύκλος ὁ ΤΜΝ, καὶ ἐν τῷ κύκλῳ γεγραμμένα ἐλάσσονα τᾶς διαμέτρου, ἡ ΤΝ· καὶ ὃν ἔχει λόγον ἡ ΤΑ ποτὶ τὰν ΑΛ, μείζων τοῦ ὃν ἔχει ἡ ἡμίσεια τᾶς ΤΝ ποτὶ τὰν ἀπὸ τοῦ Α κάθετον ἐπ' αὐτὰν ἀγομέναν. Δυνατὸν ἔν ἐστιν ἀπὸ τοῦ Α ποτιβαλεῖν τὰν ΑΣ, ποτὶ τὰν ΤΝ ἐκβεβλημέναν, ὥς τε τὰν μεταξὺ τᾶς περιφερείας καὶ τᾶς ἐκβεβλημένας τὰν ΡΣ ποτὶ τὰν ΤΡ τὸν αὐτὸν ἔχειν λόγον, ὃν ἡ ΤΑ ποτὶ τὰν ΑΛ. Τεμεῖ δὴ ἡ ΑΣ τὸν μὲν κύκλον κατὰ τὸ Ρ, τὰν δὲ ἕλικα κατὰ τὸ Χ. Καὶ ἐναλλὰξ, τὸν αὐτὸν ἕξει λόγον ἡ ΡΣ ποτὶ τὰν ΤΑ, ὃν ἡ ΤΡ ποτὶ τὰν ΑΛ. Ἁ δὲ ΤΡ ποτὶ τὰν ΑΛ ἐλάσσονα λόγον ἔχει, ἢ ἡ ΤΡ περιφέρεια ποτὶ τὰν διπλασίων τοῦ ΤΜΝ κύκλου περιφέρειαν· ἔστι γὰρ ἡ μὲν ΤΡ εὐθεῖα ἐλάσσων τᾶς ΤΡ περιφερείας, ἡ δὲ ΑΛ εὐθεῖα μείζων ἢ διπλασίων τᾶς τοῦ ΤΜΝ κύκλου περιφερείας. Ἐλάσσονα ἄρα λόγον ἔχει [k] ἡ ΡΣ ποτὶ τὰν ΑΡ, ἢ ἡ ΤΡ περιφέρεια ποτὶ τὰν διπλασίων τᾶς τοῦ ΤΜΝ κύκλου περιφερείας. Ὅλα οὖν ἡ ΣΑ ποτὶ τὰν ΑΡ ἐλάσσονα λόγον ἔχει, ἢ ἡ ΤΡ περιφέρεια μετὰ τᾶς ΤΜΝ κύκλου περιφερείας δὶς εἰλημμένας, ποτὶ τὰν τοῦ ΤΜΝ κύκλου περιφέρειαν δὶς εἰλημμένην. Ὃν δὲ λόγον ἔχουσιν αἱ εἰρημέναι περιφέρειαι, τοῦτον ἔχει τὸν λόγον ἡ ΧΑ ποτὶ τὰν ΑΤ. Δέδεικται γὰρ τοῦτο. Ἐλάσσονα ἄρα λόγον ἔχει ἡ ΑΣ ποτὶ τὰν ΑΡ, ἢ ἡ ΧΑ ποτὶ τὰν ΤΑ· Ὅπερ ἀδύνατον. Οὐκ ἄρα μείζων

[h] τᾶ αὐτᾶ [i] Sic MS. [k] ἡ ΡΣ

ἐστὶν ἡ διπλάσια ἡ ΖΑ εὐθεῖα τῆς τῆ ΤΜΝ κύκλου περιφερείας. Ὁμοίως δὴ δειχθήσεται, ὅτι οὐδὲ ἐλάττων ἡ διπλασία. Δῆλον ἄρα, ὅτι διπλασία ἐστί.

Διὰ δὲ τοῦ αὐτοῦ τρόπου δεικτέον, καὶ εἴ τινα τῆς ἐν ὁποιασοῦν περιφορᾷ γεγραμμένης ἕλικος ἐπιψαύῃ τις εὐθεῖα κατὰ τὸ πέρας τῆς ἕλικος, ἣ ἀπὸ τῆς ἀρχῆς τῆς ἕλικος πρὸς ὀρθὰς ἀχθεῖσα τῇ ἀρχῇ τῆς περιφορᾶς συμπίπτῃ ποτὶ τὰν ἐπιψαύουσαν, πολλαπλασία ἐστὶ τᾶς τοῦ κύκλου περιφερείας, τοῦ κατὰ τὸν ἀριθμὸν τᾶς περιφορᾶς λεγομένου τῷ αὐτῷ ἀριθμῷ.

ΠΡΟΤΑΣΙΣ κ'.

Αἴκα τᾶς ἕλικος τᾶς ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένας εὐθεῖα γραμμὰ ἐπιψαύῃ μὴ κατὰ τὸ πέρας τᾶς ἕλικος, ἀπὸ δὲ τᾶς ἁφᾶς ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος εὐθεῖα ἐπιζευχθῇ, καὶ κέντρῳ μὲν τᾷ ἀρχᾷ τᾶς ἕλικος, διαστήματι δὲ τᾷ ἐπιζευχθείσᾳ κύκλος γραφῇ· ἀπὸ δὲ τᾶς ἀρχᾶς τᾶς ἕλικος ἀχθῇ τις ποτ' ὀρθὰς, τᾷ ἀπὸ τᾶς ἁφᾶς [1] ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος ἐπιζευχθείσᾳ συμπεσεῖται αὐτᾷ ποτὶ τὰν ἐπιψαύουσαν, καὶ ἐσεῖται ἃ μεταξὺ εὐθεῖα τάς τε συμπλωσίας καὶ τᾶς ἀρχᾶς τᾶς ἕλικος ἴσα τᾷ περιφερείᾳ τοῦ γραφέντος κύκλου τᾷ μεταξὺ τᾶς ἁφᾶς καὶ τᾶς τομᾶς, καθ' ὃ τέμνει ὁ γραφεὶς κύκλος τὰν ἀρχὰν τᾶς περιφορᾶς ἐπὶ τὰ προαγομένα λαμβανομένας τᾶς περιφερείας ἀπὸ τοῦ σημείου τοῦ ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς.

Ἔστω ἕλιξ ἐφ' ἃς ἡ ΑΒΓΔ ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένα, καὶ ἐπιψαυέτω τις αὐτᾶς εὐθεῖα ἡ ΔΕΖ κατὰ τὸ Δ· ἀπὸ δὲ τοῦ Δ ποτὶ τὰν ἀρχὰν τᾶς ἕλικος ἐπιζεύχθω ἡ ΑΔ. Καὶ κέντρῳ μὲν τῷ Α, διαστήματι δὲ τῷ ΑΔ κύκλος γεγράφθω, ἃ ΔΜΝ· τεμνέτω δ' αὐτὸς τὰν ἀρχὰν τᾶς περιφορᾶς κατὰ τὸ Κ· ἤχθω δὲ ἡ ΖΑ ποτὶ τὰν ΑΔ ὀρθά. Ὅτι μὲν οὖν αὐτὰ συμπίπτει, δῆλον· ὅτι δὲ καὶ ἴσα ἐστὶν ἡ ΖΑ εὐθεῖα τᾷ ΚΜΝΔ περιφερείᾳ, δεικτέον.

Εἰ γὰρ μή, ἤτοι μείζων ἐστὶν ἢ ἐλάσσων. [m] Ἔστω εἰ δυνατὸν, πρότερον μείζων. Λελάφθω δέ τις ἃ ΛΑ τᾶς μὲν ΖΑ εὐθείας ἐλάσσων, τᾶς δὲ ΚΜΝΔ περιφερείας μείζων. Πάλιν δὴ κύκλος ἐστὶν ὁ ΚΜΝ, καὶ ἐν τῷ κύκλῳ γραμμὰ ἐλάσσων τᾶς διαμέτρου ἃ ΔΝ· καὶ λόγος ὃν ἔχει ἃ ΔΑ ποτὶ ΑΛ, μείζων τοῦ ὃν ἔχει ἃ ἡμισεία τᾶς ΔΝ, ποτὶ τὰν ἀπὸ τοῦ Α κάθετον ἐπ' αὐτὰν ἀγμέναν. Δυνατὸν ἄρ' ἐστὶν ἀπὸ τοῦ Α ποτιβαλεῖν τὰν ΑΕ ποτὶ τὰν ΝΔ ἐκβεβλημέναν, ὥς τε τὰν ΕΡ ποτὶ τὰν ΔΡ τὸν αὐτὸν ἔχειν λόγον, ὃν ἃ ΔΑ ποτὶ τὰν ΑΛ. Δέδεικται γὰρ τοῦτο δυνατὸν ἐόν. Ἐχέτω ἄρ' καὶ ἃ ΕΡ ποτὶ τὰν ΑΡ τὸν αὐτὸν λόγον, ὃν ἃ ΔΡ ποτὶ τὰν ΑΛ. Ἃ δὴ ΔΡ ποτὶ τὰν ΑΛ ἐλάσσονα λόγον ἔχει, ἢ ἃ ΔΡ περιφέρεια ποτὶ [n] τὰν ΚΜΔ περιφέρειαν· ἐπεὶ ἃ

cumferentiæ circuli ΤΜΝ. Pariter autem demonſtrabitur neque minor eſſe quam dupla. Conſtat igitur duplam eſſe.

Eodem modo demonſtrandum eſt, ſi helicen quolibet orbe deſcriptam recta aliqua contigerit in ipſius termino; quæque ab helicis principio ducitur ad rectos angulos ei, quæ eſt principium orbis, contingenti occurrat; hanc multiplicem eſſe circumferentiæ circuli ab orbium numero denominati ſecundum eumdem numerum.

PROP. XX. Theor.

Si helicen primo orbe deſcriptam recta linea contigerit, non in ipſius termino; et a contactu ad principium helicis recta jungatur; et centro quidem principio helicis, intervallo autem recta juncta, circulus deſcribatur; itemque a principio helicis recta aliqua ducatur ad rectos angulos ei, quæ a contactu ad principium helicis juncta eſt: hæc cum contingente concurret; quæque ejus pars inter contingentem, et principium helicis interjicitur, æqualis erit deſcripti circuli circumferentiæ, quæ interjicitur inter contactum, et ſectionis punctum, in quo deſcriptus circulus principium orbis ſecat; circumferentia ab eo puncto, quod in orbis principio eſt, verſus præcedentia ſumpta.

Sit helix ΑΒΓΔ primo orbe deſcripta; eamque contingat in puncto Δ recta aliqua ΔΕΖ: et jungatur a puncto Δ ad principium helicis ΑΔ. Deſcribatur porro centro quidem puncto Α, intervallo autem ΑΔ circulus ΔΜΝ, qui ſecet principium orbis in puncto Κ: ducaturque ΖΑ ad rectos angulos ipſi ΑΔ. Quod quidem ΖΑ cum contingente concurrat, manifeſtum eſt: quod vero ſit etiam æqualis circumferentiæ ΚΜΝΔ, hoc oportet demonſtrare.


Si enim non eſt æqualis aut major eſt, aut minor. Sit primo, ſi fieri poteſt, major: ſumaturque recta aliqua ΛΑ minor quidem quam ΖΑ, major vero quam circumferentia ΚΜΝΔ. Rurſus circulus eſt ΚΜΝ, et recta in circulo minor quam diameter, ΔΝ: ratioque, quam habet ΔΑ ad ΑΛ, ea major eſt, quam habet dimidia rectæ ΔΝ ad eam, quæ a puncto Α ad ipſam ΔΝ normalis ducitur. Fieri igitur poteſt, ut a puncto Α ad ΝΔ productam ejiciatur recta ΑΕ; ita ut ΕΡ ad ΔΡ eamdem rationem habeat, quam ΔΑ ad ΑΛ. Hoc enim fieri poſſe demonſtratum eſt. Habebit igitur etiam ΕΡ ad ΑΡ rationem eamdem, quam ΔΡ ad ΑΛ. Habet autem ΔΡ ad ΑΛ minorem rationem, quam circumferentia ΔΡ ad circumferentiam ΚΜΔ;

[1] In MS. τᾷ deeſt.

[m] ἔστω εἰ δυνατὸν, πρότερον μείζων· λελάφθω δέ τις ἃ ΛΑ τᾶς μὲν ΖΑ εὐθείας ἐλάσσων, in MS. deſunt.

[n] τὰν ΚΜΝ

quoniam recta Δ P minor est quam circumferentia Δ P, recta vero A Λ major quam circumferentia K M Δ. Habet igitur E P ad P A minorem rationem, quam circumferentia Δ P ad circumferentiam K M Δ. Quare etiam A E ad A P minorem habet rationem, quam circumferentia K M P ad circumferentiam K M Δ. Quam autem rationem habet circumferentia K M P ad circumferentiam K M Δ, hanc habet X A ad A Δ. Minorem igitur rationem habet E A ad A P, quam A X ad Δ A. Quod fieri non potest. Non est igitur major Z A quam circumferentia K M Δ. Pariter autem ac supra demonstrabitur neque esse minor. Est igitur æqualis.



Eodem quoque modo demonstrabitur, si helicen secundo orbe descriptam recta contigerit, non in ipsius termino; et alia eadem construantur: quæ recta inter contingentem, et principium helicis interjicitur, hanc æqualem esse toti descripti circuli circumferentiæ, et amplius illi, quæ interjicitur inter ea, quæ diximus, puncta; circumferentia ipsa similiter sumpta. Et si helicen quolibet orbe descriptam recta aliqua contigerit, non in ipsius termino; et alia eadem construantur: quæ recta inter ea, quæ diximus, puncta interjicitur, hanc multiplicem esse circumferentiæ descripti circuli secundum numerum uno minorem quam a quo orbes denominantur, et amplius æqualem circumferentiæ, quæ inter ea, quæ diximus, puncta interjicitur, similiter sumptæ.

μὲν Δ P ἐλάσσων ἐστὶ τῆς Δ P περιφερείας, ἡ δὲ Α Λ μείζων τῆς Κ Μ Δ περιφερείας. Ἐλάσσονα ἄρα λόγον ἔχει ἡ Ε P εὐθεῖα πρὸς τὴν P Α, ἢ ἡ Δ P περιφέρεια πρὸς τὴν Κ Μ Δ περιφέρειαν. Ὡς δὲ ἡ Α Ε πρὸς Α P ἐλάσσονα λόγον ἔχει, ἢ ἡ Κ Μ P περιφέρεια πρὸς Κ Μ Δ περιφέρειαν. Ὃν δὲ λόγον ἔχει ἡ Κ Μ P πρὸς τὴν Κ Μ Δ περιφέρειαν, τοῦτον ἔχει ἡ Χ Α περιφέρεια πρὸς Α Δ. Ἐλάσσονα ἄρα λόγον ἔχει ἡ Ε Α πρὸς Α P, ἢ ἡ Α Χ πρὸς Δ Α. Ὅπερ [o] ἐστὶν ἀδύνατον. Οὐκ ἄρα μείζων ἡ Ζ Α τῆς Κ Μ Δ περιφερείας. Ὁμοίως δὴ τοῖς πρότερον δειχθήσεται, ὅτι οὐδὲ ἐλάσσων ἐστίν. Ἴσα ἄρα.

Διὰ δὴ τοῦ αὐτοῦ τρόπου δειχθήσεται, καὶ αἱ λοιπαὶ τῆς ἐν τῇ δευτέρᾳ περιφορᾷ γεγραμμένης ἕλικος ἐπιψαύουσαι εὐθεῖαι μὴ κατὰ τὸ πέρας τῆς ἕλικος, τὰ δὲ ἄλλα τὰ αὐτὰ κατασκευαθέντων· ὅτι ἡ μεταξὺ εὐθεῖα τῆς πρὸς τὴν ἐπιψαύουσαν συμπιπτούσης, ἀπὸ τῆς ἀρχῆς [p] τῆς ἕλικος ἴσα ἐστὶν ὅλα τῷ τοῦ γραφέντος κύκλου περιφερείᾳ, καὶ ἔτι τῇ μεταξὺ τῶν εἰρημένων σημείων ὡσαύτως τῆς περιφερείας λαμβανομένης. Καὶ αἱ λοιπαὶ τῆς ἐν ὁποιᾳοῦν γεγραμμένης [q] περιφορᾷ ἕλικος ἐπιψαύουσαι τῆς εὐθείας μὴ κατὰ τὸ πέρας τῆς ἕλικος, τὰ δὲ ἄλλα τὰ αὐτὰ κατασκευαθέντων· ὅτι ἡ μεταξὺ εὐθεῖα τῶν εἰρημένων σημείων πολλαπλασία τίς ἐστι τῆς τοῦ γραφέντος κύκλου περιφερείας, κατὰ τὸν * ἐλάσσονα ἀριθμὸν τοῦ καθ' ὃν αἱ περιφοραὶ λέγονται, καὶ ἔτι ἴσα τῇ μεταξὺ τῶν εἰρημένων σημείων ὁμοίως λαμβανομένης.

PROP. XXI. Theor.

Sumpto spatio, quod ab helice primo orbe descripta, rectaque prima earum, quæ in orbis principio sunt, comprehenditur, fieri potest, ut eidem plana figura circumscribatur, itemque alia inscribatur; ita ut circumscripta major sit quam inscripta spatio minore quolibet proposito.

Sit helix A B Γ Δ primo orbe descripta. Et sit principium helicis punctum Θ: principium orbis, recta Θ A: primus circulus, Z H I A; cujus diametri A H, Z I sese invicem ad rectos an-

ΠΡΟΤΑΣΙΣ κα'.

Λαμβάνοντα τὸ χωρίον τὸ περιεχόμενον ὑπό τε τῆς ἕλικος, τῆς ἐν τῇ πρώτῃ περιφορᾷ γεγραμμένης, καὶ τῆς εὐθείας τῆς πρώτης ἐν τῇ ἀρχῇ τῆς περιφορᾶς, δυνατόν ἐστι περὶ αὐτὸ σχῆμα ἐπίπεδον περιγράψαι, καὶ ἄλλο ἐγγράψαι ἐξ ὁμοίων [r] τομῶν συγκείμενον· ὥς τε τὸ περιγεγραμμένον τοῦ ἐγγεγραμμένου μεῖζον εἶναι ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου.

Ἔστω ἕλιξ, ἐφ' ἧς ἡ Α Β Γ Δ ἐν τῇ πρώτῃ περιφορᾷ γεγραμμένη. Ἔστω δὲ ἀρχὴ μὲν τῆς ἕλικος τὸ Θ σημεῖον· ἀρχὴ δὲ τῆς περιφορᾶς ἡ Θ Α· ὁ δὴ πρῶτος κύκλος ὁ Z H I A· αἱ δὴ Α H, Z I διάμετροι αὐτοῦ


[o] In MS. ἐστὶ deest. [p] τῆς ἕλικος. Τὰ δὲ ἄλλα τὰ αὐτὰ, ἴσα ἐστὶν τὰ τοῦ γραφέντος κύκλου περιφέρεια [q] περιφορᾶς [r] τὸ μὲν

* Fortasse deest, ἐνὶ

Digitized by Google

πστ' ὀρθὰς ἀλλάλαις. Ἀεὶ δὴ τᾶς ὀρθὰς γωνίας δίχα τεμνομένας, καὶ ἑκατέρου τομέως ἑκατὸν τὸν ὀρθὸν γωνίαν περιέχοντος, ἐσσεῖται τὸ καταλειπόμενον τᾶ τομέως ἔλασσον τᾶ προτεθέντος.* Καὶ ἔστω γεγενημένος ὁ τομεὺς ὁ ΑΘΚ ἐλάσσων ἑκατέρου προτεθέντος χωρίου. Διηρήθωσαν δὴ ἂν γωνίαι αἱ τέσσαρες ὀρθαὶ εἰς τὰς ἴσας γωνίας τὰ περιεχομένα ὑπὸ τᾶν ΑΘ, ΘΚ· καὶ αἱ πιέσσαι τὰς γωνίας εὐθεῖαι ἐκβεβλήθωσαν ἐς τ' ἄν κατὰ τὰν ἕλικα ἀφθῶντι. Καθ' ὃ δὴ τέμνει σαμεῖον ἀ ΘΚ τὰν ἕλικα, ἔστω τὸ Λ· καὶ κέντρῳ τῷ Θ, διαστήματι δὲ τῷ ΘΛ κύκλος γεγράφθω. Πεσεῖται δὴ αὐτᾶ, ἃ μὲν εἰς τὰ προαγομένα περιφέρεια ἐντὸς τᾶς ἕλικος, ἃ δὲ εἰς τὰ ἑπόμενα ἐκτός. Γεγράφθω δὴ ἁ περιφέρεια, ἐς ἂν συμπέσῃ τᾷ ΘΑ κατὰ τὸ Ο, ἁ ΟΜ, καὶ τᾷ μετὰ τὰν ΘΚ εὐθεῖαν ποτὶ τὰν ἕλικα ποτιπ[illegible]σα κατὰ τὸ Μ. Πάλιν δὴ καὶ καθ' ὃ τέμνει τὰν ἕλικα σαμεῖον ἁ ΘΜ, ἔστω τὸ Ν· καὶ κέντρῳ τῷ Θ, διαστήματι δὲ τῷ ΘΝ κύκλος γεγράφθω, ἐς τ' ἂν ΘΚ συμπέσῃ ἁ περιφέρεια τᾶ κύκλω καὶ τᾷ μετὰ τὰν ΘΜ ποτιπτούσα ποτὶ τὰν ἕλικα. Ὁμοίως δὲ καὶ διὰ τῶν ἄλλων πάντων καθ' ἃ τέμνοντι τὰν ἕλικα αἱ τὰς ἴσας γωνίας ποιοῦσαι, κύκλοι γεγράφθωσαν κέντρῳ τῷ Θ, ἐς τ' ἂν συμπέσῃ ἑκάστα ἁ περιφέρεια τᾶτε προαγομένᾳ εὐθείᾳ, καὶ τᾷ ἑπομένᾳ. Ἔστω δή τι περὶ τὸ λαφθὲν χωρίον περιγεγραμμένον σχῆμα ἐξ ὁμοίων τομέων συγκείμενον, καὶ ἄλλο ἐγγεγραμμένον. Ὅτι δὴ τὸ περιγεγραμμένον σχῆμα τᾶ ἐγγεγραμμένᾳ μεῖζόν ἐστιν ἐλάσσονι τᾶ προτεθέντος χωρίῳ, δειχθήσεται. Ἔστι γὰρ ὁ μὲν ΘΛΟ τομεὺς ἴσος τῷ ΘΜΛ· ὁ δὲ ΘΝΠ τῷ ΘΝΡ· ὁ δὲ ΘΧΣ τῷ ΘΧΤ· ἐστὶ δὲ καὶ τῶν ἄλλων τομέων ἕκαστος τῶν ἐν τῷ ἐγγεγραμμένῳ σχήματι, ἴσος τῷ κοινὰν ἔχοντι πλευρὰν τομεῖ, τῶν ἐν τῷ περιγεγραμμένῳ σχήματι τομέων. Δῆλον ἄρα, ὅτι καὶ πάντες οἱ τομεῖς πάντεσσιν ἴσοι ἐσοῦνται. Ἴσον ἄρα ἐστὶ τὸ ἐγγεγραμμένον σχῆμα ἐν τῷ χωρίῳ τῷ περιγεγραμμένῳ περὶ τὸ χωρίον σχήματι, χωρὶς τοῦ ΘΑΚ τομέως. Μόνος γὰρ οὗτος λέλαπται τῶν ἐν τῷ περιγεγραμμένῳ σχήματι. Δῆλον ἄρα ὅτι τὸ περιγεγραμμένον σχῆμα τᾶ ἐγγεγραμμένᾳ μείζων ἐστὶ τῷ ΑΚΘ τομεῖ, ὃς ἐλάσσων ἐστὶν τᾶ προτεθέντος.

Ἐκ τούτου δὲ φανερὸν, ὅτι δυνατόν ἐστι περὶ τὸ εἰρημένον χωρίον σχῆμα, οἷον εἴρηται, γράφειν ὥς τε τὸ περιγεγραμμένον σχῆμα μεῖζον εἶμεν τᾶ χωρίου ἐλάσσονι παντὸς τᾶ προτεθέντος χωρίου· καὶ πά-



gulos secent. Si igitur rectus angulus, quique rectum angulum continet sector, in duas æquas partes continue secetur, erit tandem, quod ex sectore relinquitur, minus quam propositum spatium. Jam sit is, qui oritur, sector AΘK minor quam propositum spatium: et dividantur anguli quatuor recti in angulos illi æquales, qui sub AΘ, ΘK continetur: rectæque, quæ angulos efficiunt, producantur, quousque in helicen incidant. Punctum autem, in quo ΘK helicen secat, sit Λ: et centro quidem puncto Θ, intervallo vero ΘΛ, circulus describatur. Atque hujus circumferentia, quæ quidem in præcedentibus est, intra helicen cadet; quæ vero in sequentibus, cadet extra. Itaque describatur circumferentia OM, ita ut rectæ ΘA occurrat in puncto O, eique, quæ post ΘK in helicen incidit, in puncto M. Rursus punctum, in quo ΘM helicen secat, sit N: et centro quidem puncto Θ intervallo vero ΘN, circulus describatur, quousque ejus circumferentia rectæ ΘK occurrat itemque illi, quæ post ΘM in helicen incidit. Pariter etiam per alia puncta, in quibus rectæ, quæ æquales angulos efficiunt, helicen secant, centro Θ, circuli describantur, quousque unaquæque circumferentia in rectam incidat tum præcedentem, tum sequentem. Erit jam sumpto spatio circumscripta figura ex similibus sectoribus composita, et alia item circumscripta. Quod autem circumscripta figura major sit quam inscripta spatio minore quolibet proposito, hoc pacto demonstrabitur. Est enim æqualis sector quidem ΘΛO sectori ΘMΛ; sector vero ΘNΠ, sectori ΘNP; denique sector ΘXΣ, sectori ΘXT: et aliorum sectorum, qui in inscripta figura sunt, sectorum, qui sunt in figura circumscripta, æqualis quisque est ei, qui commune latus habuerit. Ex quibus constat omnes sectores omnibus sectoribus æquales esse. Æqualis est igitur figura spatio inscripta figuræ eidem spatio circumscriptæ, dempto sectore ΘAK. Hic enim unus ex omnibus, qui in figura circumscripta sunt, relictus est. Constat igitur circumscriptam figuram majorem esse quam inscriptam sectore AKΘ; qui quidem minor est proposito spatio.

Ex hoc manifestum est, fieri posse, ut dicto spatio figura, qualis dicta est, circumscribatur; ita ut circumscripta major sit quam spatium spatio minore quolibet proposito: rursus-


* In MS. desunt καὶ ἑκάτερον γεγενημένος ὁ τομεὺς ὁ ΑΘΚ ἐλάσσων τοῦ.

que alia inſcribatur; ita ut ſpatium majus ſit quam inſcripta ſpatio item minore quolibet propoſito.

PROP. XXII. Theor.

Sumpto ſpatio, quod ab helice ſecundo orbe deſcripta, rectaque ſecunda earum, quæ in orbis principio ſunt, comprehenditur, fieri poteſt, ut eidem plana figura circumſcribatur, itemque alia inſcribatur ex ſimilibus ſectoribus compoſita; ita ut circumſcripta major ſit quam inſcripta ſpatio minore quolibet propoſito.

Sit helix ABΓΔE ſecundo orbe deſcripta. Et ſit punctum Θ principium helicis: recta AΘ principium orbis: EA ſecunda earum, quæ in orbis principio ſunt. Circulus autem AZH ſit ſecundus, ejuſque diametri AH, ZI ſeſe invicem ad rectos angulos ſecent. Rurſus igitur ſi rectus angulus, quique rectum angulum continet ſector in duas æquas partes continuo ſecetur; erit tandem, quod relinquitur, minus quam propoſitum ſpatium. Jam ſit is, qui oritur, ſector ΘKA minor quam ſpatium propoſitum. Itaque ſi dividantur recti anguli in angulos illi æquales, qui ſub KΘA continetur, et alia eadem, quæ ſupra, conſtruantur, circumſcripta figura major erit quam inſcripta ſpatio minore quam ſector ΘKA. Erit enim major exceſſu, quo ſector ΘKA excedit ſectorem ΘEP.



Conſtat igitur fieri poſſe, ut circumſcripta figura major ſit quam ſumptum ſpatium ſpatio minore quolibet propoſito: rurſuſque ſumptum ſpatium majus ſit quam figura inſcripta ſpatio item minore quolibet propoſito.

Eodem autem modo conſtat, ſumpto ſpatio, quod ſub helice quolibet orbe deſcripta, rectaque in orbis principio ab eodem numero denominata continetur, fieri poſſe, ut plana figura, qualis dicta eſt, circumſcribatur; ita ut circumſcripta figura major ſit quam ſumptum ſpatium ſpatio minore quolibet propoſito: rurſuſque alia inſcribatur, ita ut ſumptum ſpatium majus ſit quam figura inſcripta ſpatio item minore quolibet propoſito.

ΠΡΟΤΑΣΙΣ κβ'.

Λαβόντα τὸ χωρίον τὸ περιεχόμενον ὑπότε τᾶς ἕλικος, τᾶς ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμένας, καὶ τᾶς εὐθείας ἃ ἐστι δευτέρα τᾶν ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς, δυνατόν ἐστι περὶ τὸ αὐτὸ σχῆμα ἐπίπεδον περιγράψαι, ἐξ ὁμοίων τομέων συγκείμενον, καὶ ἄλλο ἐγγράψαι· ὥς τε τὸ περιγραφὲν τοῦ ἐγγραφέντος μεῖζον εἶμεν ἐλάσσονι [x] παντὸς τοῦ προτεθέντος χωρίου.

Ἔστω ἕλιξ ἐφ' ἃς ἀ ΑΒΓΔΕ, ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμένα. Καὶ ἔστω τὸ μὲν Θ σαμεῖον ἀρχὰ τᾶς ἕλικος· ἀ δὲ ΑΘ ἀρχὰ τᾶς περιφορᾶς· ἀ δὲ ΕΑ ἀ δευτέρα εὐθεῖα τᾶν ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς. Ὁ δὲ ΑΖΗ κύκλος ἔστω δεύτερος, καὶ αἱ ΑΗ, ΖΙ διάμετροι αὐτοῦ ποτ' ὀρθὰς ἀλλάλας. Πάλιν ἒν * δίχα τετμημένας τὰς ὀρθᾶς γωνίας, καὶ τοῦ τομέως τᾷ τὰν ὀρθὰν γωνίαν περιέχοντος, ἐστάσθω τὸ καταλειπόμενον ἔλασσον τοῦ προτεθέντος. Καὶ ἔστω γεγενημένος ὁ ΘΚΑ τομεὺς, ἐλάσσων τοῦ προτεθέντος χωρίου. Διαιρεθείσαν δὴ τὰν ὀρθὰν γωνίαν εἰς τὰς ἴσας γωνίας τᾷ ὑπὸ τᾶν ΚΘΑ, καὶ τῶν ἄλλων κατασκευαθέντων κατὰ τὰ αὐτὰ τοῖς πρότερον, ἐστάσθω τὸ περιγεγραμμένον σχῆμα ἐγγεγραμμένου σχήματος μεῖζον ἐλάσσονι, ἢ ὁ τομεὺς ὁ ΘΚΑ. Μεῖζον γὰρ ἐστάσθω τᾷ ὑπερεχᾷ ᾧ ὑπερέχει ὁ ΘΚΑ τομεὺς τοῦ ΘΕΡ.

Δῆλον ἒν ὅτι δυνατόν ἐστι, καὶ τὸ περιγραφὲν σχῆμα τοῦ λαφθέντος χωρίου μεῖζον εἶμεν ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου· καὶ πάλιν τὸ λαφθὲν χωρίον μεῖζον εἶμεν τοῦ ἐγγραφέντος [y] σχήματος παντὸς τοῦ προτεθέντος χωρίου.

Διὰ δὲ τᾶς αὐτᾶς τρόπω φανερὸν, διότι δυνατὸν λαβόντα τὸ χωρίον τὸ περιεχόμενον ὑπό τε τᾶς ἕλικος τᾶς ἐν ὁποιᾳδὲν περιφορᾷ γεγραμμένας καὶ τᾶς εὐθείας τᾶς ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς κατὰ τὸν αὐτὸν ἀριθμὸν λεγομένας, περιγράψαι σχῆμα, οἷον εἴρηται, ἐπίπεδον· ὥς τε τὸ περιγραφὲν σχῆμα μεῖζον εἶμεν τοῦ λαφθέντος χωρίου ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου· καὶ πάλιν ἐγγράψαι, ὥς τε τὸ λαφθὲν χωρίον μεῖζον εἶμεν τοῦ ἐγγραφέντος σχήματος ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου.

[x] παντὸς [y] σχήματος ἐλάσσονι παντὸς

* Deſit fortaſſe ἀεὶ

ΠΡΟΤΑΣΙΣ κγ'.

Λαζόντα τὸ χωρίον τὸ περιεχόμενον ὑπό τε τᾶς ἕλικος, ἃ ἐστὶ ἐλάσσων τᾶς ἐν μιᾷ περιφορᾷ γεγραμμένας, ἃς ἐχούσας πέρας τὸν ἀρχὰν τᾶς ἕλικος, καὶ τᾶν εὐθειᾶν τᾶν ἀπὸ [a] τοῦ περάτος τᾶς ἕλικος ἀγομέναν, δυνατόν ἐστιν περὶ τὸ χωρίον σχῆμα ἐπίπεδον περιγράψαι, ἐξ ὁμοίων τομέων συγκείμενον, καὶ ἄλλο ἐγγράψαι· ὥς τε τὸ περιγραφὲν σχῆμα τοῦ ἐγγραφέντος μεῖζον εἶμεν ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου.


Ἔστω ἕλιξ ἐφ' ἃς ἀ ΑΒΓΔΕ, πέρατα δὲ αὐτᾶς τὰ Α, Ε. Ἔστω δὲ ἀρχὰ τᾶς ἕλικος τὸ Θ· καὶ ἐπιζεύχθωσαν αἱ ΑΘ, ΘΕ. Γεγράφθω δὴ κύκλος, κέντρῳ μὲν τῷ Θ, διαστήματι δὲ τῷ ΘΑ· καὶ συμπιπτέτω τὰ ΘΕ κατὰ τὸ Ζ. Ἀεὶ δὴ τᾶς γωνίας τᾶς ποτὶ τὸ Θ καὶ τοῦ τομέως τοῦ ΘΑΖ δίχα τεμνομένων, ἔσται τὸ καταλειπόμενον τοῦ προτεθέντος ἔλασσον. Ἔστω ἐλάσσων ὁ τομεὺς ὁ ΘΑΚ προτεθέντος. Ὁμοίως δὴ τοῖς πρότερον γεγράφθωσαν [a] κύκλοι διὰ τῶν σαμείων καθ' ἃ τέμνοντι τὰν ἕλικα αἱ τὰς ἴσας γωνίας, ποιοῦσαι ποτὶ τὸ Θ· ὥς τε τὰν περιφέρειαν ἑκάσαν συμπίπτειν τᾷ τε προαγομένᾳ καὶ τᾷ ἑπομένᾳ. Ἐστείτω δή τι περὶ τὸ περιεχόμενον χωρίον ὑπό τε τᾶς ΑΒΓΔΕ ἕλικος, καὶ τᾶν ΑΘ, ΘΕ εὐθειᾶν περιγεγραμμένον σχῆμα ἐπίπεδον, ἐξ ὁμοίων τομέων συγκείμενον, καὶ ἄλλο ἐγγεγραμμένον. Καὶ τὸ περιγεγραμμὸν τοῦ ἐγγεγραμμοῦ ἐλάσσονι ὑπερέχει τοῦ προτεθέντος χωρίου. Ἐλάσσων γάρ ἐστιν ὁ ΘΑΚ τομεύς.

Ἐκ τούτου φανερόν ἐστιν, ὅτι δυνατόν ἐστι περὶ τὸ εἰρημένον χωρίον ἐπίπεδον, οἷον εἴρηται, περιγράψαι, ὡς τὸ περιγραφὲν σχῆμα μεῖζον εἶμεν τοῦ χωρίου ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου· καὶ πάλιν ἐγγράψαι, ὥστε τὸ εἰρημένον χωρίον μεῖζον εἶμεν τοῦ ἐγγραφέντος σχήματος ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου.

PROP. XXIII. THEOR.

Sumpto ſpatio, quod comprehenditur ab helice, quæ minor ſit, quam quæ uno orbe deſcribitur, quæque terminum non habeat helicis principium, rectiſque, ab helicis termino ductis, fieri poteſt, ut eidem ſpatio plana figura circumſcribatur, itemque alia inſcribatur; ita ut circumſcripta figura major ſit quam inſcripta ſpatio minore quolibet propoſito.

Sit helix ΑΒΓΔΕ, cujus termini puncta Α, Ε, principium punctum Θ: junganturque ΑΘ, ΘΕ. Deſcribatur autem circulus centro quidem puncto Θ, intervallo vero recta ΘΑ; eique occurrat recta ΘΕ in puncto Ζ. Si igitur angulus, qui ad punctum Θ conſtituitur, et ſector ΘΑΖ in duas æquas partes continuo ſecetur; erit tandem, quod relinquitur, minus quam propoſitum ſpatium. Sit ſector ΘΑΚ minor quam ſpatium propoſitum: deſcribanturque pariter ac ſupra circuli per ea puncta, in quibus rectæ, quæ ad punctum Θ æquales angulos efficiunt, helicen ſecant; ita ut unaquæque circumferentia in rectum incidat tum præcedentem, tum ſequentem. Jam ſpatio, quod ab helice ΑΒΓΔΕ, rectiſque ΑΘ, ΘΕ comprehenditur, circumſcripta erit figura plana ex ſimilibus ſectoribus compoſita, et alia item inſcripta. Circumſcripta autem major eſt quam inſcripta ſpatio minore propoſito. Hoc enim minor eſt ſector ΘΑΚ.



Ex hoc manifeſtum eſt, fieri poſſe, ut dicto ſpatio plana figura, qualis dicta eſt, circumſcribatur; ita ut circumſcripta figura major ſit quam ſpatium ſpatio minore quolibet propoſito: rurſuſque inſcribatur, ita ut dictum ſpatium majus ſit quam figura inſcripta ſpatio item minore quolibet propoſito.

ΠΡΟΤΑΣΙΣ κδ'.

Τὸ περιλαφθὲν χωρίον ὑπό τε τᾶς ἕλικος τᾶς ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένας, καὶ τᾶς εὐθείας τᾶς πρώτας τᾶν ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς, τρίτον μέρος ἐστὶ τοῦ κύκλου τοῦ πρώτου.

Ἔστω ἕλιξ, ἐφ' ἃς ἀ ΑΒΓΔΕΘ, ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένα. Ἔστω δὲ τὸ μὲν Θ σαμεῖον ἀρχὰ τᾶς ἕλικος· ἀ δὲ ΘΑ εὐθεῖα πρώτα ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς· ὁ δὲ ΑΚΖΗΙ κύκλος

PROP. XXIV. THEOR.

Spatium, quod ab helice primo orbe deſcripta, rectaque prima earum, quæ in orbis principio ſunt, comprehenditur, tertia pars eſt primi circuli.

Sit helix ΑΒΓΔΕΘ primo orbe deſcripta. Et ſit punctum Θ principium helicis: recta ΘΑ prima earum, quæ in orbis principio ſunt: et circulus ΑΚΖΗΙ primus, cujus tertia pars ſit

[a] τῶν πιράτων


[a] καγὰ τίμυνσι

Digitized by Google

circulus, in quo eſt ψ. Oportet demonſtrare ſpatium, quod diximus, æquale eſſe circulo ψ.

Si enim non eſt æquale, aut majus eſt, aut minus. Sit primo, ſi fieri poteſt, minus. Fieri autem poteſt, ut ſpatio, quod ab helice ΑΒΓΔΕΘ, rectaque ΑΘ comprehenditur, plana figura circumſcribatur ex ſimilibus ſectoribus compoſita; ita ut circumſcripta figura major ſit quam ſpatium ſpatio minore, quam quo circulus ψ id, quod diximus ſpatium excedit. Itaque circumſcribatur: ſectorumque, ex quibus id, quod diximus, ſpatium componitur, maximus quidem ſit ſector ΘΑΚ, minimus vero ſector ΘΕΟ. Conſtat igitur circumſcriptam figuram minorem eſſe, quam circulum. Producantur rectæ, quæ ad punctum Θ æquales angulos efficiunt, quouſque in circuli circumferentiam incidant. Sunt igitur quædam lineæ æqualiter ſeſe invicem excedentes, quæ a puncto Θ in helicen incidunt; harumque maxima eſt ΘΑ, minima vero ΘΕ; quæ cum minima eſt, tum etiam æqualis exceſſui. Præterea aliæ quædam ſunt lineæ a puncto Θ in circuli circumferentiam incidentes numero quidem illis æquales, magnitudine vero unaquæque æqualis maximæ: deſcriptique ſunt ab omnibus ſimiles ſectores, tum ab æqualiter ſeſe invicem excedentibus, tum etiam ab æqualibus inter ſe invicem, maximæque. Sectores igitur, qui ab æqualibus maximæ deſcribuntur, minores ſunt quam tripli ſectorum, qui deſcribuntur ab æqualiter ſeſe invicem excedentibus. Hoc enim demonſtratum eſt. Qui autem ſectores ab æqualibus maximæ deſcribuntur, hi æquales ſunt circulo ΑΖΗΙ; quique deſcribuntur ab æqualiter ſeſe invicem excedentibus, hi ſunt æquales figuræ circumſcriptæ. Circulus igitur ΖΗΙΚ minor eſt quam triplus figuræ circumſcriptæ; idemque triplus circuli ψ. Minor eſt igitur circulus ψ quam figura circumſcripta. Non eſt autem minor, ſed major. Non eſt igitur ſpatium, quod ab helice ΑΒΓΔΕΘ, rectaque ΑΘ comprehenditur, minus quam circulus ψ.

Neque vero eſt minus. Sit enim, ſi fieri poteſt, majus. Rurſus fieri poteſt, ut ſpatio, quod ab helice ΑΒΓΔΕΘ, rectaque ΑΘ comprehenditur, figura inſcribatur; ita ut id, quod diximus, ſpatium majus ſit quam inſcripta figura ſpatio minore, quam quo id, quod diximus, ſpatium circulum ψ excedit. Itaque cirumſcribatur: ſectorumque, ex quibus inſcripta figura




πρῶτος, [b] ἔ τρίτον μέρος ἔςω [c] ἐν ᾧ ψ, κύκλος. Δεικτέον ὅτι ἴσον ἐςὶ τὸ προειρημένον χωρίον [d] τῷ ψ κύκλῳ.

Εἰ γὰρ μή, ἤτοι μεῖζόν ἐςι, ἢ ἔλασσον. Ἔςω πρότερον, εἰ δυνατὸν, ἔλασσον. Δυνατὸν δή ἐςι περὶ τὸ χωρίον τὸ περιεχόμενον ὑπό τε τᾶς ΑΒΓΔΕΘ ἕλικος, καὶ τᾶς ΑΘ εὐθείας περιγράψαι σχῆμα ἐπίπεδον ἐξ ὁμοίων τομέων συγκείμενον· ὡς τε τὸ περιγραφὲν σχῆμα μεῖζον εἶμεν τᾶ χωρίᾳ ἐλάσσονι τᾶς ὑπεροχᾶς, ᾇ ὑπερέχει [e] ὁ ψ κύκλος τᾶ εἰρημένᾳ χωρίῳ. Περιγεγράφθω δή· καὶ ἔςω τῶν τομέων, ἐξ ὧν σύγκειται τὸ εἰρημένον σχῆμα, μέγιςος μὲν [f] ὁ ΘΑΚ, ἐλάχιςος δὲ ὁ ΘΕΟ. Δῆλον ἄρα τὸ περιγεγραμμένον σχῆμα ἔλασσόν ἐςι τᾶ κύκλῳ. Ἐκβεβλήθωσαν ἢ εὐθεῖαι αἱ ποτὶ τὸ Θ ποιοῦσαι τὰς ἴσας γωνίας ἐς τ' ἀν ποτὶ τὰν τᾶ κύκλῳ περιφέρειαν ποτσῶντι. Ἐντὶ δή τινες γραμμαὶ ἀπὸ τοῦ Θ ποτὶ τὰν ἕλικα ποτιπίπτουσαι τῷ ἴσῳ ἀλλάλαν ὑπερέχουσαι, ὧν ἐςι μείζων μὲν ἡ ΘΑ, ἐλάσσων δὲ ἡ ΘΕ· καὶ ἐλαχίςα ἴσα τᾷ ὑπεροχᾷ. Ἐντὶ δὲ καὶ ἄλλαι τινὲς γραμμαὶ ἀπὸ τοῦ Θ ποτὶ τὰν περιφέρειαν τοῦ κύκλου ποτιπίπτουσαι, τῷ μὲν πλήθει ἴσαι ταύταις, τῷ δὲ μεγέθει ἑκάσται ἴσα τᾷ μεγίςᾳ· καὶ ἀναγέγραπται [g] ἀπὸ πασῶν ὅμοιοι τομέες, ἀπό τε τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν, καὶ ἀπὸ τᾶν ἴσαν ἀλλάλαις τὲ καὶ τᾷ μεγίςᾳ. Οἱ ἄρα τομέες οἱ ἀπὸ τᾶν ἴσαν τᾷ μεγίςᾳ, ἐλάσσονές ἐντι ἢ τριπλάσιοι τῶν τομέων, τῶν ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν. Δέδεικται γὰρ τοῦτο. Εἰσὶ δὲ [h] οἱ τομέες οἱ ἀπὸ τᾶν ἴσαν ἀλλάλαις τὲ καὶ τᾷ μεγίςᾳ ἴσοι τῷ ΑΖΗΙ κύκλῳ· οἱ δὲ τομέες οἱ ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν, ἴσοι τῷ περιγεγραμμένῳ σχήματι. Ἐλάσσων ἄρα ὁ ΑΖΗΙΚ κύκλος τοῦ περιγεγραμμένου σχήματος ἢ [i] τριπλασίων, τοῦ δὲ ψ κύκλου τριπλασίων. Ἐλάσσων ἄρα ὁ ψ κύκλος τοῦ περιγεγραμμένου σχήματος. Οὐκ ἐςι δὲ, ἀλλὰ μείζων. Οὐκ ἄρα ἐςὶ τὸ περιεχόμενον χωρίον ὑπό τε τᾶς ΑΒΓΔΕΘ ἕλικος, καὶ τᾶς ΑΘ, ἔλασσον τοῦ ψ κύκλου.

Οὐδὲ τοίνυν μεῖζον. Ἔςω γὰρ, εἰ δυνατὸν, μεῖζον. Ἔςι δὴ πάλιν δυνατὸν εἰς τὸ χωρίον τὸ περιεχόμενον ὑπὸ τᾶς ΑΒΓΔΕΘ ἕλικος, καὶ τᾶς ΑΘ εὐθείας ἐγγράψαι σχῆμα· ὡς τε τὸ εἰρημένον χωρίον τοῦ ἐγγραφέντος σχήματος μεῖζον εἶμεν ἐλάσσονι, ἢ ᾧ ὑπερέχει τὸ εἰρημένον χωρίον τοῦ ψ κύκλου. Ἐγγεγράφθω δή· καὶ ἔςω τῶν τομέων, ἐξ ὧν σύγκειται

[b] ὅτω πασᾶν [c] ἰν ᾧ Ε [d] τῷ Ε [e] ὁ Ε [f] ὁ ΘΑΚ, ἴλασσων ἐςὶ τῦ Ε κύκλυ. Ἐκβεβλήσθωσαν [g] ἀπὸ [h] οἱ μὲν τομέες [i] τριπλασία

τὸ ἐγγεγραμμένον σχῆμα, μέγιστος μὲν ὁ ΘΡΞ, ἐλάσσων δὲ ὁ ΘΕΟ. Δῆλον ἄρα, τὸ ἐγγεγραμμένον σχῆμα μεῖζόν ἐστι τοῦ ϥ κύκλου. Ἐκβεβλήθωσαν δὴ αἱ πᾶσαι τὰς ἴσας γωνίας ποιοῦσαι πρὸς τῷ Θ, ἕως τις ἂν πρὸς τῇ τοῦ κύκλου περιφερείαν πίπτωσι. Πάλιν ἄρα ἐντὶ τινὲς γραμμαὶ τῷ ἴσῳ ἀλλάλαις ὑπερέχουσαι, ἀπὸ τοῦ Θ πρὸς τὴν ἕλικα πίπτουσαι, [k] ὧν ἐστι μεγίστη μὲν ἡ ΘΑ, ἐλαχίστη δὲ ἡ ΘΕ, καί ἐστιν ἡ ἐλαχίστη ἴση τῇ ὑπεροχῇ. Ἐντὶ δὴ καὶ ἄλλαι τινὲς γραμμαὶ ἀπὸ τοῦ Θ πρὸς τὴν τοῦ κύκλου περιφέρειαν πίπτουσαι, τῷ μὲν πλήθει ἴσαι ταύταις, τῷ δὲ μεγέθει ἑκάστη ἴση τῇ μεγίστῃ· καὶ ἀναγεγράφονται ἀπὸ πασῶν ὅμοιοι τομεῖς, ἀπό τε τῶν ἴσων ἀλλάλαις τὲ καὶ τῆς μεγίστης. Καὶ ἀπὸ τῶν τῷ ἴσῳ ἀλλάλαν [l] ὑπερεχουσῶν, οἱ ἄρα τομεῖς οἱ ἀπὸ τῶν ἴσων τῇ μεγίστῃ, μείζονες ἐντὶ ἢ τριπλάσιοι τῶν τομέων τῶν ἀπὸ τῶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσῶν χωρὶς ἧς ἀπὸ τῆς μεγίστης. Δέδεικται γὰρ τοῦτο. Ἐντὶ δὲ οἱ μὲν τομεῖς οἱ ἀπὸ τῶν ἴσων τῇ μεγίστῃ ἴσοι τῷ ΑΖΗΙ κύκλῳ, οἱ δὲ ἀπὸ τῶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσῶν, χωρὶς τοῦ ἀπὸ τῆς μεγίστης, ἴσοι τῷ ἐγγεγραμμένῳ σχήματι. Μεῖζων ἄρα ὁ ΑΖΗΙ κύκλος, ἢ τριπλασίων τοῦ ἐγγεγραμμένου σχήματος, τοῦ δὲ ϥ κύκλου τριπλασίων. Μεῖζων ἄρα ἐστὶν ὁ ϥ κύκλος ἧς ἐγγεγραμμένου σχήματος. Οὐκ ἐστὶ δὲ, ἀλλὰ ἐλάσσων. Οὐκ ἄρα ἐστὶν οὐδὲ μεῖζον τὸ χωρίον, τὸ ὑπό τε τῆς ΑΒΓΔΕΘ ἕλικος, καὶ τῆς ΑΘ εὐθείας, τοῦ ϥ κύκλου. Ἴσος ἄρα ἐστὶ τῷ περιλαφθέντι ὑπὸ τῆς ἕλικος, καὶ τῆς ΑΘ εὐθείας.



componitur, maximus quidem fit sector ΘΡΞ, minimus vero sector ΘΕΟ. Constat igitur inscriptam figuram minorem esse quam circulum ϥ. Producantur rectæ, quæ ad punctum Θ æquales angulos efficiant, quousque in circuli circumferentiam incidant. Rursus igitur quædam sunt lineæ æqualiter sese invicem excedentes, quæ a puncto Θ in heliçen incidunt; harumque maxima est ΘΑ, minima vero ΘΕ; quæ cum minima est, tum etiam æqualis excessui. Præterea aliæ quædam sunt lineæ a puncto Θ in circuli circumferentiam incidentes, numero quidem illis æquales, magnitudine vero unaquæque æquales maximæ: descriptique sunt ab omnibus similes sectores, tum ab æqualibus inter se invicem, maximæque, tum etiam ab æqualiter sese invicem excedentibus. Sectores igitur, qui ab æqualibus maximæ describuntur, majores sunt quam tripli sectorum, qui describuntur ab æqualiter sese invicem excedentibus, dempto eo, qui describitur a maxima. Hoc enim demonstratum est. Qui autem sectores ab æqualibus maximæ describuntur, hi æquales sunt circulo ΑΖΗΙ: quique describuntur ab æqualiter sese invicem excedentibus, dempto eo, qui describitur a minima, hi sunt æquales figuræ inscriptæ. Circulus igitur ΑΖΗΙ major est quam triplus figuræ inscriptæ; idemque triplus circuli ϥ. Major est igitur circulus ϥ quam figura inscripta. Non est autem major, sed minor. Non est igitur majus spatium, quod ab helice ΑΒΓΔΕΘ, rectaque ΑΘ comprehenditur, quam circulus ϥ. Æqualis est igitur circulus ϥ spatio, quod ab helice, rectaque ΑΘ comprehenditur.

ΠΡΟΤΑΣΙΣ κέ.

Χωρίον ὑπό τε τῆς ἕλικος τῆς ἐν τῇ δευτέρᾳ περιφορᾷ γεγραμμένης, καὶ τῆς εὐθείας τῆς δευτέρας τῶν ἐν τῇ ἀρχῇ τῆς περιφορᾶς, ποιεῖ τὸν δεύτερον κύκλον, τρίτον ἔχει τὸν λόγον, ὃν ἔχει τὰ ἑπτὰ πρὸς τὰ ιβ′, ὅς ἐστιν ὁ αὐτὸς τῷ ὃν ἔχει τὰ συναμφότερα· τό τε περιεχόμενον ὑπὸ τῆς ἐκ τοῦ κέντρου τοῦ β′ κύκλου, καὶ τῆς ἐκ τοῦ κέντρου τοῦ α′ κύκλου, καὶ τὸ τρίτον μέρος τοῦ τετραγώνου τοῦ ἀπὸ τῆς ὑπεροχῆς, ᾗ ὑπερέχει ἡ ἐκ τοῦ κέντρου τοῦ β′ κύκλου τῆς ἐκ τοῦ κέντρου τοῦ α′ κύκλου, πρὸς τὸ τετράγωνον τὸ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τοῦ β′ κύκλου.

PROP. XXV. Theor.


Spatium, quod ab helice secundo orbe descripta, rectaque secunda earum, quæ in orbis principio sunt, comprehenditur, eam rationem habet ad secundum circulum, quam habent septem ad duodecim, quæ eadem est atque illa, quam habent hæc utraque; spatium, quod sub ea, quæ ex centro secundi circuli, eaque, quæ ex centro primi, continetur; et tertia pars quadrati, quod ab excessu describitur, quo ea, quæ ex centro secundi circuli, excedit eam, quæ ex centro primi; habent, inquam ad quadratum, quod describitur ab ea, quæ ex centro secundi circuli.

[k] ὧν ἐστι μεγίστη μὲν ἡ ΘΑ, ἐλαχίστη δὲ ἡ ΘΕ, καί ἐστιν ἡ ἐλαχίστη ἴση τῇ ὑπεροχῇ. Ἐντὶ δὲ καὶ ἄλλαι τινὲς γραμμαὶ ἀπὸ τοῦ Θ πρὸς τὴν τοῦ κύκλου περιφέρειαν πίπτουσαι, ex MS. [l] ὑπερεχουσῶν

Digitized by Google

Sit helix ABΓΔE ſecundo orbe deſcripta: et ſit punctum Θ principium helicis: recta ΘE earum, quæ in orbis principio ſunt, prima: recta vero AE earum, quæ ſunt item in orbis principio, ſecunda. Circulus autem AZHI ſit ſecundus, ejuſque diametri AH, IZ ſeſe invicem ad rectos angulos ſecent. Oportet demonſtrare ſpatium, quod ab helice ABΓΔE, rectaque AE comprehenditur, eam rationem habere ad circulum AZHI, quam habent ſeptem ad duodecim.

Sit circulus aliquis ς, cujus ea, quæ ex centro, æqualis ſit poteſtate ſpatio, quod ſub AΘ, ΘE continetur, et tertiæ parti quadrati, quod ab AE deſcribitur. Habebit igitur circulus ς ad circulum AHZI eam rationem, quam ſeptem ad duodecim; eo quod ea, quæ ex ipſius centro, ad eam, quæ ex centro circuli AZHI poteſtate rationem habet eamdem. Jam demonſtrabitur circulus ς æqualis eſſe ſpatio, quod ab helice ABΓΔE, rectaque AE comprehenditur. Si enim non eſt æqualis aut major eſt, aut minor. Sit primo, ſi fieri poteſt, major. Fieri autem poteſt, ut ſpatio plana figura circumſcribatur ex ſimilibus ſectoribus compoſita, ita ut circumſcripta figura major ſit quam ſpatium ſpatio minore, quam quo circulus ς idem ſpatium excedit. Itaque circumſcribatur: ſectorumque, ex quibus circumſcripta figura componitur, maximus quidem ſit ſector ΘAK, minimus vero ſector ΘOΛ. Conſtat igitur circumſcriptam figuram minorem eſſe quam circulum. Producantur rectæ, quæ ad punctum Θ æquales angulos efficiunt, quouſque in ſecundi circuli circumferentiam incidant. Sunt igitur quædam lineæ æqualiter ſeſe invicem excedentes, quæ a puncto Θ in helicen incidunt; harumque maxima eſt ΘA, minima vero ΘE. Præterea aliæ ſunt lineæ a puncto Θ in circuli AZHI circumferentiam incidentes, multitudine quidem una minores, quam illæ, magnitudine vero inter ſe invicem, maximæque æquales: deſcriptique ſunt ſimiles ſectores tum ab æqualibus maximæ, tum ab æqualiter ſeſe invicem excedentibus, præterquam ab ea, quæ minima eſt. Sectores igitur, qui ab æqualibus maximæ deſcribuntur, ad ſectores, qui deſcribuntur ab æqualiter ſeſe invicem excedentibus, dempto eo, qui deſcribitur a minima, minorem



Ἔστω ἕλιξ, ἐφ' ἃς ἡ ΑΒΓΔΕ, ἐν τῇ δευτέρᾳ περιφορᾷ γεγραμμένη· ἔστω δὲ τὸ μὲν Θ σημεῖον ἀρχὴ τᾶς ἕλικος· ἡ δὴ ΘΕ εὐθεῖα ἐν τῇ ἀρχῇ τᾶς περιφορᾶς ἡ πρώτα· ἡ δὲ ΑΕ ἐν τῇ ἀρχῇ τᾶς περιφορᾶς ἡ δευτέρα. Ὁ δὲ κύκλος ὁ ΑΖΗΙ ὁ δεύτερος ἔστω, καὶ αἱ ΑΗ, ΙΖ διάμετροι ποτ' ὀρθὰς ἀλλάλαις. Δεικτέον ὅτι τὸ περιεχόμενον χωρίον ὑπό τε τᾶς ΑΒΓΔΕ ἕλικος, καὶ τᾶς ΑΕ εὐθείας ποτὶ τὸν ΑΖΗΙ κύκλον λόγον ἔχει, ὃν τὰ ἑπτὰ ποτὶ ιβ'.

Ἔστω δή τις κύκλος ὁ ς, ἃ δὴ ἐκ τᾶ κέντρα τοῦ ς' κύκλα δυνάμει ἴσα τῷ τε ὑπὸ τᾶν ΑΘ, ΘΕ περιεχομένῳ, καὶ τῷ τρίτῳ μέρει ἃ ἀπὸ τᾶς ΑΕ τετραγώνα. Ἐξει δὴ ὁ ς κύκλος ποτὶ τὸν ΑΗΖΙ, ὡς ἑπτὰ ποτὶ ιβ· διότι καὶ ἃ ἐκ τᾶ κέντρα αὐτοῦ ποτὶ τὰν ἐκ τοῦ κέντρα τοῦ ΑΖΗΙ κύκλα τᾶτον ἔχει δυνάμει τὸν λόγον. Δεικθήσεται δ' ἔν ἴσος ὁ ς κύκλος τῷ περιεχομένῳ χωρίῳ ὑπό τε τᾶς ΑΒΓΔΕ ἕλικος, καὶ τᾶς ΑΕ εὐθείας. Εἰ γὰρ μή, ἦτοι μείζων ἐστὶν ἢ ἐλάσσων. Ἔστω δὴ πρότερον εἰ δυνατόν, μείζων. Δυνατὸν δή ἐστι περὶ τὸ χωρίον γεγράψαι σχῆμα ἐπίπεδον, ἐξ ὁμοίων τομέων συγκείμενον, ὥς τε τὸ περιγραφὲν σχῆμα μεῖζον εἶμεν τᾶ χωρίᾳ ἐλάσσονι, ἢ ᾧ ὑπερέχει ὁ ς κύκλος τᾶ χωρίᾳ. Περιγεγράφθω· καὶ ἔστω τῶν τομέων ἐξ ὧν σύγκειται τὸ περιγεγραμμένον σχῆμα, μέγιστος μὲν ὁ ΘΑΚ τομεύς, ἐλάχιστος δὲ ὁ ΘΟΛ. Δῆλον οὖν, ὅτι τὸ περιγραφὲν σχῆμα ἔλαττόν ἐστι τοῦ κύκλα. Ἐκβεβλήθωσαν αἱ εὐθεῖαι αἱ ποιοῦσαι ποτὶ τὸ Θ ἴσας γωνίας ἐς τ' ἂν ποτὶ τὰν τᾶ δευτέρα κύκλα περιφέρειαν πεσῶντι. Ἐντὶ δή τινες γραμμαὶ τῷ ἴσῳ ἀλλάλαν ὑπερέχουσαι, αἱ ἀπὸ τοῦ Θ ποτὶ τὰν ἕλικα προτιπίπτουσι, ὧν ἐστι μεγίστα μὲν ἁ ΘΑ, ἐλαχίστα δὲ ἁ ΘΕ. Ἐντὶ δὲ καὶ ἄλλαι γραμμαὶ αἱ ἀπὸ τᾶ Θ, ἐπὶ τὰν τοῦ ΑΖΗΙ κύκλα περιφέρειαν προτιπίπτουσαι, τῷ μὲν πλήθει μιᾷ ἐλάσσονες ἑαυτᾶν, τῷ δὲ μεγέθει ἀλλάλαις τὲ ἴσαι καὶ τᾷ μεγίστᾳ· καὶ ἀναγεγράφονται ὅμοιοι τομέες ἀπὸ τᾶν ἴσαν τῷ μεγίστᾳ, καὶ ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν, χωρὶς δὲ ἀπὸ τᾶς ἐλαχίστας. Οἱ ἄρα τομέες οἱ ἀπὸ τᾶν ἴσαν τᾷ μεγίστᾳ ποτὶ τὸς τομέας τὸς ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν, χωρὶς τᾶ ἀπὸ τᾶς ἐλαχίστας, ἐλάσσονα λόγον ἔχοντι, ἢ τὸ τετρά-

[m] Ἔστω ἕλιξ, ἐφ' ἃς ἡ ΑΒΓΔΕ, ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμένα, ex MS. [n] περιγράψαι [o] ὁ ΘΟΔ [p] προτιπίπτοντι [q] ὅμοιοι τομέες ὑπερεχουσᾶν· ἀπὸ δὲ τᾶς ἐλαχίστας οὐκ ἀναγράφεται. Οἱ ἄρα τομέες οἱ ἀπὸ τᾶν ἴσαν τᾷ μεγίστᾳ ποτὶ τὸς τομέας τὸς ἀπὸ τᾶν τῷ &c.


Digitized by Google

γωνὸν τὸ ἀπὸ τᾶς μεγίσας τᾶς ΘΑ ϖοτὶ τὰ συναμφότερα, τό τε ὑπὸ τᾶν ΑΘ, ΘΕ ϖεριεχόμενον, καὶ τὸ τρίτον μέρος τᾶ ἀπὸ τᾶς ΑΕ τετραγώνᾳ. Δέδεικται γὰρ τοῦτο. Ἐντὶ δὲ τοῖς μὲν τομεῦσι τοῖς ἀπὸ τᾶν ἴσαν ἀλλάλαις καὶ τᾷ μεγίσᾳ, ἴσος ὁ ΑΖΗΙ κύκλος· τοῖς δὲ τομεῦσι τοῖς ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχόσᾶν, χωρὶς τοῦ ἀπὸ τᾶς ἐλαχίσας, ἴσον τὸ ϖεριγεγραμμμόν σχῆμα. Ἐλάσσονα ἄρα λόγον ἔχει ὁ κύκλος ΑΗΖΙ ϖοτὶ τὸ ϖεριγεγραμμένον σχῆμα, ἢ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΑΘ ϖοτὶ τὰ συναμφότερα· τό τε ὑπὸ τᾶν ΑΘ, ΘΕ, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΑΕ τετραγώνᾳ. Ὃν δὲ λόγον ἔχει τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΘΑ, ϖοτὶ τὸ ὑπὸ τᾶν ΘΑ, ΑΕ, καὶ τὸ τρίτον μέρος τᾶ ἀπὸ τᾶς ΑΕ τετραγώνᾳ, τοῦτον ἔχει ὁ ΑΖΗΙ κύκλος ϖοτὶ τὸν ϛ κύκλον. Ἐλάσσονα ἄν λόγον ἔχει ὁ ΑΖΗΙ κύκλος ϖοτὶ τὸ ϖεριγεγραμμένον σχῆμα, ἢ ϖοτὶ τὸν ϛ κύκλον. Ὥς τε ἐλάσσων ἐστὶν ὁ ϛ κύκλος τᾶ ϖεριγεγραμμένᾳ σχήματος. Οὐκ ἐστὶ δὲ, ἀλλὰ μείζων. Οὐκ ἄρα μείζων ἐστὶν ὁ ϛ κύκλος τοῦ χωρίου τοῦ ϖεριεχομμόυ ὑπό τε τᾶς ΑΒΓΔΕ ἕλικος, καὶ τᾶς ΑΕ εὐθείας.

Οὐδὲ τοίνυν ἐλάσσων. Ἔστω γὰρ, εἰ δυνατὸν, ἐλάσσων. Πάλιν ἦν δυνατόν ἐστιν εἰς τὸ χωρίον τὸ ϖεριεχόμενον ὑπό τε τᾶς ἕλικος καὶ τᾶς ΑΕ εὐθείας ἐγγράψαι σχῆμα ἐπίπεδον ὑπὸ ὁμοίων τομέων συγκείμενον, ὥς τε τὸ ϖεριεχόμενον χωρίον ὑπὸ τε τᾶς ΑΒΓΔΕ ἕλικος, καὶ τὰς ΑΕ εὐθείας, [r] μεῖζον εἶμεν τᾷ ἐγγεγραμμένᾳ σχήματος ἐλάσσονι, ἢ ᾧ ὑπερέχει τὸ αὐτὸ χωρίον τοῦ ϛ κύκλᾳ. Ἐγγεγράφθω οὖν· καὶ ἔστω τῶν τομέων ἐξ ὧν σύγκειται τὸ ἐγγεγραμμένον σχῆμα, μέγιστος μὲν ὁ ΘΚΡ τομεὺς, ἐλάχιστος δὲ ὁ ΘΕΟ. Δῆλον οὖν, ὅτι τὸ ἐγγεγραμμένον σχῆμα μεῖζόν ἐστι τᾷ ϛ κύκλᾳ. Ἐκβεβλήθωσαν αἱ ϖοιοῦσαι ἴσας γωνίας ϖοτὶ τὸ Θ, ἐς τ' ἄν ϖοτὶ τὰν τοῦ κύκλᾳ ϖεριφέρειαν ϖεσῶντι. Πάλιν ἦν ἐντί τινες γραμμαὶ τῷ ἴσῳ ἀλλάλαν ὑπερέχσαι, αἱ ἀπὸ τοῦ Θ ϖοτὶ τὰν ἕλικα ϖοτιπίπτουσαι· ὧν μεγίστα μὲν ἁ ΘΑ, ἐλαχίστα δὲ ἁ ΘΕ. Ἐντὶ δὲ καὶ ἄλλαι γραμμαὶ, αἱ ἀπὸ τᾶ Θ ϖοτὶ τὰν τᾶ κύκλᾳ ϖεριφέρειαν ϖοτιπίπτουσαι, τῷ μὲν πλήθει μιᾷ ἐλάσσυς ἑαυτᾶν, τῷ δὲ μεγέθει ἴσαι ἀλλάλαις τε καὶ τᾷ μεγίστᾳ·

rationem habent, quam quadratum, quod a maxima ΘA deſcribitur, ad hæc utraque; ſpatium, quod ſub AΘ, ΘE continetur, et tertiam partem quadrati, quod deſcribitur ab AE. Hoc enim demonſtratum eſt. Eſt autem ſectoribus, qui ab æqualibus inter ſe invicem, maximæque deſcribuntur, æqualis circulus AZHI: iis vero, qui deſcribuntur ab æqualiter ſeſe invicem excedentibus, dempto eo, qui deſcribitur a minima, æqualis eſt figura circumſcripta. Minorem igitur rationem habet circulus AZHI ad figuram circumſcriptam, quam quadratum, quod ab AΘ deſcribitur, ad hæc utraque; ſpatium, quod ſub AΘ, ΘE continetur, et tertiam partem quadrati, quod deſcribitur ab AE. Quam autem rationem habet quadratum, quod a ΘA deſcribitur, ad ſpatium, quod ſub ΘA, AE continetur, et tertiam partem quadrati, quod deſcribitur ab AE, hanc habet circulus AZHI ad circulum ϛ. Minorem igitur rationem habet circulus AZHI ad figuram circumſcriptam, quam ad circulum ϛ. Quare minor eſt circulus ϛ, quam figura circumſcripta. Non eſt autem minor, ſed major. Non eſt igitur major circulus, quam ſpatium, quod ab helice ABΓΔE, rectaque AE comprehenditur.

Neque vero eſt minor. Sit enim, ſi fieri poteſt, minor. Rurſus fieri poteſt, ut ſpatio, quod ab helice, rectaque AE comprehenditur, plana figura inſcribatur ex ſimilibus ſectoribus compoſita, ita ut ſpatium, quod ab helice ABΓΔE, rectaque AE comprehenditur, majus ſit quam inſcripta figura ſpatio minore, quam quo circulum ϛ idem ſpatium excedit. Itaque inſcribatur: ſectorumque, ex quibus inſcripta figura componitur, maximus quidem ſit ſector ΘKP, minimus vero ſector ΘEO. Conſtat igitur inſcriptam figuram majorem eſſe quam circulum ϛ. Producantur rectæ, quæ ad punctum Θ æquales angulos efficiunt, quouſque in circuli circumferentiam incidant. Rurſus igitur quædam ſunt lineæ æqualiter ſeſe invicem excedentes, quæ a puncto Θ in helicen incidunt: harumque maxima eſt ΘA, minima vero ΘE. Præterea aliæ ſunt lineæ, a puncto Θ in circuli circumferentiam incidentes, multitudine quidem una minores, quam illæ, magnitudine vero inter ſe invicem, maximæque æ-



[r] μείζονι μὲν

quales: deſcriptique ſunt ſimiles ſectores tum ab æqualiter ſeſe invicem excedentibus, tum ab æqualibus maximæ. Sectores igitur, quæ ab æqualibus maximæ deſcribuntur, ad ſectores, qui deſcribuntur ab æqualiter ſeſe invicem excedentibus, dempto eo, qui deſcribitur a maxima, majorem rationem habent, quam quadratum, quod a ΘA deſcribitur, ad hæc utraque; ſpatium, quod ſub AΘ, ΘE continetur, et tertiam partem quadrati, quod deſcribitur ab EA. Eſt autem ſectoribus, qui deſcribuntur ab æqualiter ſeſe invicem excedentibus, dempto eo, qui deſcribitur a maxima, æqualis figura inſcripta; cæteris vero ſectoribus æqualis eſt circulus. Majorem igitur rationem habet circulus AZHI ad figuram inſcriptam, quam quadratum, quod a ΘA deſcribitur, ad ſpatium, quod ſub ΘA, ΘE continetur, et tertiam partem quadrati, quod deſcribitur ab AE; hoc eſt circulus AZHI ad circulum ς. Major eſt igitur circulus ς, quam figura inſcripta. Quod fieri non poteſt: erat enim minor. Neque igitur minor eſt circulus ς quam ſpatium, quod ab helice ABΓΔE, rectaque AE comprehenditur. Quare eſt æqualis.

Eodem modo demonſtrabitur etiam ſpatium, quod ab helice rectaque ab eodem, a quo orbes, numero denominata comprehenditur, ad circulum ab eodem, a quo orbes, numero denominatum, eam rationem habere, quam hæc utraque; ſpatium, quod continetur ſub ea, quæ ex centro circuli ab eodem, a quo orbes, numero denominati, eaque, quæ ex centro alterius circuli denominati a numero uno minore, quam a quo orbes; et tertia pars quadrati, quod ab exceſſu deſcribitur, quo ea, quæ ex centro majoris, ad quadratum, quod deſcribitur ab ea, quæ ex centro majoris circuli.

καὶ ἀναγεγράφονται ἀπὸ τῶν τῷ ἴσῳ ἀλλάλων ὑπερεχουσῶν ὁμοιοι τομεῖς, καὶ ἀπὸ τῶν ἴσων τοῖς μείζοσι. Οἱ ἄρα τομεῖς, οἱ ἀπὸ τῶν ἴσων τοῖς μείζοσι, ποτὶ τὸν τομέα τὸν ἀπὸ τῶν τῷ ἴσῳ ἀλλάλων ὑπερεχουσῶν, χωρὶς τοῦ ἀπὸ τοῦ μείζονος, μείζονα λόγον ἔχουσι, ἢ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΘA ποτὶ τὰ συναμφότερα, τότε περιεχόμενον ὑπό τε τῶν AΘ, ΘE, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς EA τετραγώνου. Ἔστι δὲ τοῖς μὲν τομεῦσι τοῖς ἀπὸ τῶν τῷ ἴσῳ ἀλλάλων ὑπερεχουσῶν, χωρὶς τοῦ ἀπὸ τοῦ μείζονος, ἴσον τὸ ἐγγεγραμμένον σχῆμα ἐν τῷ χωρίῳ, τοῖς δὲ ἑτέροις ὁ κύκλος. Μείζονα ἄν λόγον ἔχοι ὁ AZHI κύκλος ποτὶ τὸ ἐγγεγραμμένον σχῆμα, ἢ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΘA ποτὶ τὸ ὑπὸ τῶν ΘA, ΘE, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς AE τετραγώνου· τεθέν ὁ AZHI κύκλος ποτὶ τὸν ς κύκλον. Μείζων ἄρα ἐστὶν ὁ ς κύκλος τοῦ ἐγγεγραμμένου σχήματος. Ὅπερ ἀδύνατον· ἦν γὰρ ἐλάσσων. Οὐκ ἄρα ἐστὶν ὁ δὲ ἐλάσσων ὁ ς κύκλος τοῦ περιεχομένου χωρίου ὑπό τε τᾶς ABΓΔE ἕλικος, καὶ τᾶς AE εὐθείας. Ὡς τε ἴσος.

Διὰ δὲ τοῦ αὐτοῦ τρόπου δειχθήσεται, καὶ διότι τὸ περιλαφθὲν χωρίον ὑπό τε τᾶς ἕλικος τᾶς ἐν ὁποιᾳοῦν περιφορᾷ γεγραμμένας, καὶ τᾶς εὐθείας τᾶς κατὰ τὸν αὐτὸν ἀριθμὸν ταῖς περιφοραῖς λεγομένας, ποτὶ τὸν κύκλον τὸν ποτὶ τὸν αὐτὸν ἀριθμὸν λεγόμενον ταῖς περιφοραῖς, λόγον ἔχει, ὃν συναμφότερον, τό τε ὑπὸ τᾶς ἐκ τοῦ κέντρου τοῦ κατὰ τὸν αὐτὸν ἀριθμὸν κύκλου, καὶ τᾶς ἐκ τοῦ κέντρου [s] τοῦ κατὰ τὸ μὲν ἑνὶ ἐλάσσονα τᾶν περιφορᾶν λεγομένου, καὶ τὸ τρίτον μέρος τοῦ τετραγώνου τοῦ ἀπὸ τᾶς ὑπεροχᾶς ἃ ὑπερέχει ἀ ἐκ τοῦ κέντρου τοῦ μείζονος κύκλου τῶν εἰρημένων [t] τᾶς ἐκ τοῦ κέντρου τοῦ ἐλάσσονος κύκλου τ εἰρημένων ποτὶ τὸ τετράγωνον τὸ ἀπὸ πᾶς ἐκ τοῦ κέντρου τοῦ μείζονος κύκλου τῶν εἰρημένων.

PROP. XXVI. THEOR.

Spatium, quod comprehenditur ab helice, quæ uno orbe deſcribitur, quæque terminum non habeat helicis principium, rectaque ab ejus terminis ad helicis principium ductis, ad ſectorem, qui habeat eam, quæ ex centro, æqualem majori earum, quæ a terminis ad helicis principium ductæ ſunt, circumferentiam vero eam, quæ interjicitur inter eas, quas diximus, rectas ad eaſdem helicis partes; eam habet rationem, quam hæc utraque; ſpatium, quod continetur ſub rectis, quæ a terminis ad helicis principium ductæ ſunt, et tertia pars quadrati, quod deſcribitur ab exceſſu, quo rectarum, quas diximus major minorem excedit, ad quadratum, quod deſcribitur a majore earum, quæ a terminis ad helicis principium ductæ ſunt.

Sit helix ABΓΔE, minor quam quæ uno orbe deſcribitur; ejuſque termini ſint puncta A, E.

ΠΡΟΤΑΣΙΣ κϛ'.

Τὸ περιεχόμενον χωρίον ὑπό τε τᾶς ἕλικος, ἃ ἐστιν ἐλάσσων τᾶς ἐν μιᾷ περιφορᾷ γεγραμμένας, ἃν ἐχούσας πέρας τὰν ἀρχὰν τᾶς ἕλικος, καὶ τᾶν εὐθειᾶν τᾶν ἀπὸ τῶν περάτων αὐτᾶς ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος ἀγμέναν, ποτὶ τὸν τομέα τὸν ἔχοντα τὰν μὲν ἐκ τοῦ κέντρου ἴσαν τᾷ μείζονι τᾶν ἀπὸ τῶν περάτων ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος ἀγμέναν, τὰν δὲ περιφέρειαν ἃ [u] ἐστι μεταξὺ τᾶν εἰρημέναν εὐθειᾶν ἐπὶ τὰ αὐτᾷ τᾷ ἕλικι, τοῦτον ἔχει τὸν λόγον, ὃν ἔχει συναμφότερα, τότε περιεχόμενον ὑπὸ τᾶν ἀπὸ τῶν περάτων ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος ἀγμέναν, καὶ τὸ τρίτον μέρος τοῦ τετραγώνου τοῦ ἀπὸ τᾶς ὑπεροχᾶς, ἃ ὑπερέχει ἀ μείζων τᾶν εἰρημέναν εὐθειᾶν τᾶς ἐλάσσονος, ποτὶ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς μείζονος τᾶν ἀπὸ τῶν περάτων ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος ἐπιζευχθεισᾶν.

Ἔστω ἕλιξ ἐφ' ἃς ἀ ABΓΔE, ἐλάσσων τᾶς ἐν μιᾷ περιφορᾷ γεγραμμένας· πέρατα δὲ αὐτᾶς ἔστω

[s] τοῦ καταμιν [t] τᾶς ἐκ τῦ κέντρυ τῦ ἐλατσονος κύκλυ τῶν εἰρημένων ex MS. [u] ἐστὶ τᾷ μεταξὺ.

Digitized by Google

τὰ Α, Ε. Ἔστω δὲ ἀρχὰ τῆς ἕλικος τὸ Θ σημεῖον· καὶ κέντρῳ μὲν τῷ Θ, διαστήματι δὲ τῷ ΘΑ, κύκλος γεγράφθω, καὶ συμπιπτέτω τῇ περιφερείᾳ αὐτῆς ἀ-ΘΕ κατὰ τὸ Ζ. Δεικτέον ὅτι τὸ περιεχόμενον χωρίον ὑπό τε τῆς ΑΒΓΔΕ ἕλικος, καὶ τῶν λ᾽θείων τῶν ΑΘ, ΘΕ, ποτὶ τὸν τομέα τὸν ΑΘΖ τὸν αὐτὸν ἔχει τὸν λόγον, ὃν συναμφότερα, τό τε ὑπὸ τῶν ΑΘ, ΘΕ, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τῆς ΕΖ, ποτὶ τὸ τετράγωνον τὸ ἀπὸ τῆς ΘΑ.

Ἔστω δὴ κύκλος, ἐν ᾧ Χς, τὸν ἐκ τοῦ κέντρου ἔχων ἴσαν δυνάμει τῷ τε ὑπὸ τῶν ΑΘ, ΘΕ, καὶ τῷ τρίτῳ μέρει τοῦ ἀπὸ τῆς ΕΖ, ποτὶ δὲ τὸ κέντρον αὐτοῦ γωνία ἴσα [x] τῇ ποτὶ τὸ Θ. Ὁ δὴ τομεὺς ὁ ςΧ ποτὶ τὸν τομέα τὸν ΘΑΖ τὸν αὐτὸν ἔχει λόγον, ὃν ἔχει τὸ ὑπὸ τῶν ΑΘ, ΘΕ, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τῆς ΕΖ τετραγώνου, ποτὶ τὸ ἀπὸ τῆς ΘΑ τετράγωνον. Αἱ γὰρ ἐκ τῶν κέντρων τὸν ἔχοντι τὸν λόγον δυνάμει ποτ᾽ ἀλλάλας. Δεικθήσεται δὴ ὁ Χς τομεὺς ἴσος ὢν τῷ χωρίῳ τῷ περιεχομένῳ ὑπό τε τῆς ΑΒΓΔΕ ἕλικος, καὶ τῶν ΑΘ, ΘΕ εὐθειῶν. Εἰ γὰρ μὴ, ἤτοι μείζων, ἢ ἐλάσσων ἐστί. Ἔστω γὰρ πρότερον, εἰ δυνατὸν, μείζων. Δυνατὸν δέ ἐστι περὶ τὸ εἰρημένον χωρίον περιγράψαι σχῆμα ἐπίπεδον ἐξ ὁμοίων τομέων συγκείμενον, ὥς τε τὸ περιγραφόμενον σχῆμα μεῖζον εἶναι τοῦ εἰρημένου χωρίου ἐλάσσονι, ἢ ἀλίκῳ ὑπερέχει ὁ ςΧ τομεὺς τοῦ εἰρημένου χωρίου. Περιγεγράφθω δή· καὶ ἔστω τῶν τομέων, ἐξ ὧν σύγκειται τὸ περιγεγραμμένον σχῆμα, μείζων μὲν ὁ ΘΑΗ, ἐλάσσων δὲ ὁ ΘΟΔ. Δῆλον δέ ἐστιν ὅτι τὸ περιγεγραμμένον σχῆμα [y] ἐλάσσων ἐστὶ τοῦ Χς τομέως. Διήχθωσαν δὴ εὐθεῖαι αἱ ποιοῦσαι τὰς ἴσας γωνίας ποτὶ τὸ Θ ἐς τὴν ποτὶ τὰν περιφέρειαν τοῦ ΘΑΖ τομέως πεσοῦντι. Ἐντὶ δή τινες εὐθεῖαι τῷ ἴσῳ ἀλλάλαν ὑπερέχουσαι, αἱ ἀπὸ τοῦ Θ ποτὶ τὰν ἕλικα ποτιπίπτουσαι· ὧν ἐστι μεγίστα μὲν ἡ ΘΑ, ἐλαχίστα δὲ ἡ ΘΕ. Ἐντὶ δὲ καὶ ἄλλαι εὐθεῖαι τῷ μὲν πλήθει μιᾷ [z] ἐλάσσονες ταύτας, τῷ [a] δὲ μεγέθει ἴσαι ἀλλάλαις τὲ καὶ ταῖς μεγίσταις, αἱ ἀπὸ τοῦ Θ ποτὶ τὰν τοῦ ΑΘΖ τομέως περιφέρειαν ποτιπιπτοῦσαι, χωρὶς τᾶς ΘΖ· καὶ ἀναγεγράφονται ὅμοιοι τομεῖς ἀπὸ πασᾶν, ἀπό τε τᾶν ἴσαν ἀλλάλαις τὲ καὶ ταῖς μεγίσταις, καὶ ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν· ἀπὸ δὲ τᾶς ΘΕ οὐκ ἀναγέγραπται. Τομέες δέν οἱ ἀπὸ τᾶν ἴσαν ἀλλάλαις τὲ καὶ ταῖς μεγίσταις, ποτὶ


[w] ὃν ἴσχει συναμφότερα [x] τῇ πρὸς τὸ Θ [y] ἐλάσσων ἐστὶ [z] ἐλάσσονι [a] δὲ ex MS.

Sit autem principium helicis punctum Θ: et centro quidem Θ, intervallo vero ΘΑ circulus describatur, cujus circumferentiæ ΘΕ in puncto Ζ occurrat. Oportet demonstrare spatium, quod ab helice ΑΒΓΔΕ, rectisque ΑΘ, ΘΕ comprehenditur, ad sectorem ΑΘΖ eam habere rationem, quam habent hæc utraque; spatium, quod sub ΑΘ, ΘΕ continetur, et tertia pars quadrati, quod ab ΕΖ describitur, ad quadratum, quod describitur a ΘΑ.

Sit circulus, in quo Χς, æqualem habens potestate eam, quæ ex centro, spatio, quod sub ΑΘ, ΘΕ continetur, et tertiæ parti quadrati, quod ab ΕΖ describitur; constituaturque ad ejus centrum angulus ei æqualis, qui ad punctum Θ constituitur. Sector igitur ςΧ ad sectorem ΘΑΖ eamdem habet rationem, quam habent spatium, quod sub ΑΘ, ΘΕ continetur, et tertia pars quadrati, quod ab ΕΖ describitur, ad quadratum, quod describitur a ΘΑ. Quæ enim ex eorum centris, eamdem inter se invicem potestate rationem habent. Jam demonstrabitur sector Ζς æqualis esse spatio, quod ab helice ΑΒΓΔΕ, rectisque ΑΘ, ΘΕ comprehenditur. Si enim non est æqualis, aut major est, aut minor. Sit primo, si fieri potest, major. Fieri igitur potest, ut spatio, quod diximus, plana figura circumscribatur ex similibus sectoribus composita, ita ut circumscripta figura major sit, quam spatium, quod diximus, spatio minore, quam quo sector id, quod diximus, spatium excedit. Itaque circumscribatur: sectorumque, ex quibus circumscripta figura componitur, major quidem sit sector ΘΑΗ, minor vero sector ΘΟΔ. Constat igitur circumscriptam figuram minorem esse quam sectorem Χς. Producantur rectæ, quæ ad punctum Θ æquales angulos efficiunt, quousque in sectoris ΘΑΖ circumferentiam incidant. Sunt igitur quædam lineæ æqualiter sese invicem excedentes, quæ a puncto Θ in helicen incidunt: harumque maxima est ΘΑ, minima vero ΘΕ. Præterea aliæ sunt lineæ, numero quidem unâ minores, quam illæ, magnitudine vero inter se invicem maximæque æquales, quæ a puncto Θ in helicen incidunt, dempta linea ΘΖ: descriptique sunt ab omnibus similes sectores, tum ab æqualibus inter se invicem maximæque, tum ab æqualiter sese invicem excedentibus: ab ipsa vero ΘΕ nullus sector est descriptus. Sectores igitur, qui ab æqualibus inter se invicem maxi-

mæque deſcribuntur, ad ſectores, qui deſcribuntur ab æqualiter ſeſe invicem excedentibus, dempto eo qui deſcribitur a minima, minorem rationem habent quam quadratum, quod a ΘA deſcribitur, ad hæc utraque; ſpatium, quod ſub AΘ, ΘE continetur, et tertia pars quadrati, quod deſcribitur ab EZ. Eſt autem ſectoribus, qui ab æqualibus inter ſe invicem maximæque deſcribuntur, æqualis ſector ΘAZ; iis vero, qui deſcribuntur ab æqualiter ſeſe invicem excedentibus, æqualis eſt figura circumſcripta. Minorem igitur rationem habet ſector ΘAZ ad figuram circumſcriptam, quam quadratum, quod a ΘA deſcribitur, ad hæc utraque; ſpatium, quod ſub ΘA, ΘE continetur, et tertiam partem quadrati, quod deſcribitur a ZE. Quam autem rationem habet quadratum, quod a ΘA deſcribitur ad hæc, quæ diximus, ſpatia, hanc habet ſector ΘAZ ad ſectorem Xς. Quare minor eſt ſector Xς quam figura circumſcripta. Non eſt autem minor, ſed major. Non erit igitur ſector Xς major quam ſpatium, quod ab helice ABΓΔE, rectiſque AΘ, ΘE comprehenditur.

Neque vero erit minor. Sit enim, ſi fieri poteſt, minor; et alia eadem conſtruantur. Rurſus fieri poteſt, ut ſpatio plana figura inſcribatur ex ſimilibus ſectoribus compoſita, ita ut ſpatium, quod diximus, majus ſit quam inſcripta figura ſpatio minore, quam quo ſectorem X idem ſpatium excedit. Itaque inſcribatur: ſectorumque, ex quibus inſcripta figura componitur, major quidem ſit ſector ΘBH, minor vero ſector OΘE. Conſtat igitur inſcriptam figuram majorem eſſe quam ſectorem X. Rurſus autem quædam ſunt lineæ æqualiter ſeſe invicem excedentes, quæ a puncto Θ in helicen incidunt: harumque maxima eſt ΘA, minima vero ΘE. Præterea aliæ ſunt lineæ a puncto Θ in ſectoris ΘAZ circumferentiam incidentes, dempta linea ΘA, multitudine quidem unâ minores, quam illæ, magnitudine vero inter ſe invicem, maximæque æquales: deſcriptique ſunt ab unaquaque ſimiles ſectores; a maxima vero æqualiter ſeſe invicem excedentium nullus ſector eſt deſcriptus. Sectores igitur, qui ab æqualibus inter ſe invicem, maximæque deſcribuntur, ad ſectores, qui deſcribuntur ab æqualiter ſeſe invicem excedentibus, dempto eo, quod deſcribitur a maxima, majorem rationem habent, quam quadratum, quod a ΘA deſcribitur, ad ſpatium, quod ſub ΘA, ΘE



τὰς τομέας τὰς ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν, χωρὶς τᾶ ἀπὸ τᾶς ἐλαχίστας τομέως, ἐλάσσονα λόγον ἔχοντι ἢ τὸ ἀπὸ τᾶς ΘA ποτὶ τὰ συναμφότερα, τάτε ὑπὸ τᾶν AΘ, ΘE, καὶ τὸ τρίτον μέρος τᾶ ἀπὸ τᾶς EZ τετραγώνω. Ἔστι δὲ τοῖς μὲν τομεῦσι τοῖς ἀπὸ τᾶν ἴσαν ἀλλάλαις τὲ καὶ τᾷ μεγίστᾳ, ἴσος ὁ ΘAZ τομεύς· τοῖς δὲ ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν, τὸ περιγεγραμμένον σχῆμα. Ἐλάσσονα ἄν λόγον ἔχει ὁ ΘAZ τομεὺς ποτὶ τὸ περιγεγραμμένον σχῆμα, ἢ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΘA ποτὶ τὰ συναμφότερα, τό τε ὑπὸ τᾶν ΘA, ΘE, καὶ τὸ τρίτον μέρος [b]τᾶ ἀπὸ τᾶς ZE. [a]Ον δὲ λόγον ἔχει τὸ ἀπὸ τᾶς ΘA ποτὶ τὰ εἰρημένα, τοῦτον τὸν λόγον ἔχει ὁ ΘAZ τομεὺς ποτὶ τὸν Xς τομέα. Ὡς τε ἐλάσσων ἐστὶν ὁ Xς τομεὺς τοῦ περιγεγραμμένου σχήματος. Οὐκ ἐστὶν δὲ, ἀλλὰ μείζων. Οὐκ ἄρα ἔσαι ὁ Xς τομεὺς μείζων τοῦ περιεχομένω χωρίω, ὑπό τε τᾶς ABΓΔE ἕλικος, καὶ τᾶν AΘ, ΘE εὐθειᾶν.

Οὐδὲ τοίνυν ἐλάττων. Ἔστω γὰρ, εἰ δυνατὸν, ἐλάσσων, καὶ τὰ ἄλλα τὰ αὐτὰ κατασκευάσθω. Πάλιν δὴ δυνατόν ἐστιν εἰς τὸ χωρίον ἐγγράψαι σχῆμα ἐπίπεδον ἐξ ὁμοίων τομέων συγκείμενον, ὥς τε τὸ εἰρημένον χωρίον μεῖζον εἶμεν τᾶ ἐγγραφέντος σχήματος ἐλάσσονι, ἢ ἀλίκῳ ὑπερέχει τὸ αὐτὸ χωρίον τοῦ X τομέως. Ἐγγεγράφθω ἄν· καὶ ἔστω τῶν τομέων ἐξ ὧν σύγκειται τὸ ἐγγεγραμμένον σχῆμα, μείζων μὲν [c]ὁ ΘBH, ἐλάσσων δὲ ὁ OΘE. Δῆλον ἄν, ὅτι τὸ ἐγγεγραμμένον σχῆμα μεῖζόν ἐστι τοῦ X τομέως. Πάλιν ἄν ἐντί τινες γραμμαὶ τῷ ἴσῳ ἀλλάλαν ὑπερέχουσαι, αἱ ἀπὸ τοῦ Θ ποτὶ τὰν ἕλικα προσπίπτουσαι· ὧν ἐστι μεγίστα μὲν ἁ ΘA, ἐλαχίστα δὲ ἁ ΘE. Ἐντὶ δὴ καὶ ἄλλαι γραμμαὶ αἱ ἀπὸ τοῦ Θ ποτὶ τὰν τᾶ ΘAZ τομέως περιφέρειαν προσπίπτουσι, χωρὶς τᾶς ΘA, τῷ μὲν πλήθει μιᾷ ἐλάσσονες [d]τᾶν ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν, τῷ δὲ μεγέθει, ἀλλάλαις τὲ καὶ τᾷ μεγίστᾳ ἴσαι· καὶ ἀναγεγράφωνται ἀπὸ τᾶς ἑκάστας ὅμοιοι τομεές· ἀπὸ δὴ τὰς μεγίστας τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν, οὐκ ἀναγέγραπται. Οἱ τομέες ἄν οἱ ἀπὸ τᾶν ἴσαν ἀλλάλαις τὲ καὶ τᾷ μεγίστᾳ ποτὶ τᾶς τομέας, τᾶς ἀπὸ τᾶν ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν, χωρὶς τᾶ ἀπὸ τᾶς μεγίστας, μείζονα λόγον ἔχοντι, ἢ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΘA ποτὶ τὸ ὑπὸ [e]τᾶν ΘA, ΘE, καὶ τὸ τρίτον μέρος τᾶ ἀπὸ

[b] τὸ ἀπὸ τᾶς [c] ὁ ΘBΓ ἐλάσσων δὲ ὁ ΘE [d] τῷ ἴσῳ [e] τᾶν ΘA, AE

Digitized by Google

τᾶς EZ. [f]Ὡς τε ἡ ὁ ΘAZ τομεὺς ποτὶ τὸ ἐγγεγραμμένον σχῆμα μείζονα λόγον ἔχει, ἤπερ ποτὶ τὸν X τομέα· ὡς τε μείζων ὁ X τομεὺς τοῦ ἐγγεγραμμένου σχήματος. Οὐκ ἐστὶ δέ, ἀλλὰ ἐλάσσων. Οὐκ [g]ἄρα ἐστὶν ὁδὲ ἐλάσσων ὁ X τομεὺς τᾶ περιεχομένᾳ χωρίᾳ, ὑπό τε τᾶς ABΓΔE ἕλικος, καὶ τᾶν AΘ, ΘE εὐθειᾶν. Ἴσος ἄρα.

continetur, et tertiam partem quadrati, quod describitur ab EZ. Quare etiam sector ΘAZ ad figuram inscriptam majorem habet rationem, quam ad sectorem X; ideoque major est sector X quam figura inscripta. Non est autem major, sed minor. Neque igitur minor est sector X quam spatium, quod ab helice ABΓΔE, rectisque AΘ, ΘE comprehenditur. Æqualis est igitur.


ΠΡΟΤΑΣΙΣ κζ'.

Τῶν χωρίων τῶν περιεχομένων ὑπό τε τᾶν ἑλίκων καὶ τᾶν εὐθειᾶν τᾶν ἐν τᾷ περιφορᾷ, τὸ μὲν γ' τοῦ β' διπλάσιόν ἐστι, τὸ δὲ δ' τριπλάσιον, τὸ δὲ ε' τετραπλάσιον· καὶ ἀεὶ τὸ ἑπόμενον κατὰ τὰς ἑξῆς ἀριθμὸς πολλαπλάσιον τοῦ δευτέρου χωρίου· τὸ δὲ α' χωρίον ἕκτον μέρος ἐστὶ τοῦ δευτέρου.

PROP. XXVII. THEOR.

Spatiorum, quæ ab helicibus, rectisque, quæ in orbe sunt, comprehenduntur, tertium quidem secundi duplum est; quartum vero triplum; quintum denique quadruplum: atque ita porro, quod sequitur, spatium secundum numeros, qui hos consequuntur, multiplex est secundi spatii; primum autem spatium sexta pars est spatii secundi.

Ἔστω ἃ προκειμένα ἕλιξ ἔντε τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένα, καὶ ἐν τᾷ δευτέρᾳ, καὶ ἐν ταῖς ἑπομέναις ὁποταισοῦν. Ἔστω ἀρχὰ μὲν τᾶς ἕλικος τὸ Θ σαμεῖον, ἃ δὲ ΘE εὐθεῖα ἀρχὰ τᾶς περιφορᾶς. Τῶν δὲ χωρίων ἔστω τὸ μὲν K τὸ α'· τὸ δὲ Λ τὸ β'· τὸ δὲ M τὸ γ'· τὸ δὲ N τὸ δ'· τὸ δὲ Ξ τὸ ε'. Δεικτέον ὅτι τὸ μὲν K χωρίον ς' μέρος ἐστὶ τοῦ ἑπομένου· τὸ δὲ M διπλάσιον τοῦ Λ· τὸ δὲ N τριπλάσιον τοῦ Λ· καὶ τῶν ἑξῆς ἀεὶ τὸ ἑπόμενον πολλαπλάσιον τοῦ Λ, κατὰ τᾶς ἑξῆς ἀριθμούς.



Propoſita helix tum primo orbe deſcripta, tum ſecundo, tum cæteris quotlibet: et principium quidem helicis ſit punctum Θ, principium vero orbis recta ΘE. Spatiorum autem primum ſit K; ſecundum Λ; tertium M: quartum N; quintum Ξ. Oportet demonſtrare ſpatium K ſextum eſſe partem ejus, quod ſequitur: ſpatiique Λ ſpatium quidem M eſſe duplum; ſpatium vero N eſſe triplum: atque ita porro, quod ſequitur, ſpatium multiplex eſſe ipſius Λ ſecundum numeros, qui hos conſequuntur.

Ὅτι μὲν οὖν τὸ K ς' μέρος ἐστὶ τοῦ Λ, [h]ὡς δεδείκνυται. [i]Ἐπειδὴ τὸ KΛ χωρίον ποτὶ τὸν δεύτερον κύκλον δεδεικταί τετρακτὸν ἔχειν τὸν λόγον, ὃν ἔχει τὰ ἐπτὰ ποτὶ τὰ ιβ'· ὁ δὲ β' κύκλος ποτὶ τὸν α' κύκλον, ὡς ιβ' ποτὶ τὰ τρία· δῆλον [k]γάρ ἐστιν· ὁ δὲ α' κύκλος ποτὶ τὸ K χωρίον ἔχει ὡς γ' [l]ποτὶ α'· ἕκτον ἄρα ἐστὶ τὸ K χωρίον [m]τοῦ Λ. Πάλιν ἡ κὴ τὸ KΛM χωρίον ποτὶ τὸν γ' κύκλον δέδεικται ὅτι τετρακτὸν ἔχει τὸν λόγον, ὃν ἔχει συναμφότερον, τό τε ὑπὸ ΓΘB, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΓB τετραγώνου, ποτὶ τὸ ἀπὸ ΓΘ τετράγωνον. Ὁ δὲ γ' κύκλος ἔχει ποτὶ τὸν β' κύκλον, ὃν τὸ ἀπὸ τᾶς ΓΘ τετράγωνον ποτὶ τὸ ἀπὸ τᾶς ΘB. Ὁ δὲ β' κύκλος ἔχει ποτὶ τὸ KΛ χωρίον, ὃν τὸ ἀπὸ BΘ τετράγωνον πο-

At vero ſpatium K ſextam eſſe partem ſpatii Λ hoc pacto demonſtrabitur. Quoniam ſpatium KΛ ad ſecundum circulum eam rationem habere demonſtratum eſt, quam habent ſeptem ad duodecim: ſecundus autem circulus eam habet ad primum, quam duodecim ad tria: hoc enim patet: et adhuc primus circulus habet eam ad ſpatium K, quam tria ad unum: ideo ſpatium K ſexta pars eſt ſpatii Λ. Rurſus ſpatium KΛM ad tertium circulum eam rationem habere demonſtratum eſt, quam habent hæc utraque: ſpatium, quod ſub ΓΘB continetur, et tertia pars quadrati, quod a ΓB deſcribitur, ad quadratum, quod deſcribitur a ΓΘ. Tertius autem circulus eam habet ad ſecundum, quam quadratum, quod a ΓΘ deſcribitur, ad quadratum, quod deſcribitur a ΘB. Et ſecundus circulus habet eam ad ſpatium KΛ, quam quadratum, quod a BΘ deſcribitur, ad hæc utraque ſpatium, quod ſub

[f] ἔστω [g] ἄρα ex MS. [h] ὡς [i] ἐπεὶ [k] γὰρ ὅτι [l] ς' ἄρα [m] τοῦ A

Digitized by Google

ΒΘ, ΘΑ continetur, et tertiam partem quadrati, quod ab ΑΒ deſcribitur. Igitur etiam ſpatium ΚΛΜ ad ſpatium ΚΛ eam habet rationem, quam ſpatium, quod ſub ΓΘ, ΘΒ continetur, et tertia pars quadrati, quod a ΓΒ deſcribitur, ad ſpatium, quod continetur ſub ΒΘ, ΘΑ, et tertiam partem quadrati, quod deſcribitur ab ΑΒ. Hæc autem ſpatia eam habent rationem inter ſe invicem, quam unde viginti ad ſeptem. Quare etiam ſpatium ΚΛΜ ad ſpatium ΛΚ eam rationem habet, quam undeviginti ad ſeptem. Ipſum igitur ſpatium ad ſpatium ΚΛ eam rationem habet, quam duodecim ad ſeptem. Habet autem ſpatium ΚΛ ad ſpatium Λ eam rationem, quam ſeptem ad ſex. Conſtat igitur ſpatium Μ ſpatii Λ eſſe duplum. Quæ autem ſequuntur ſpatia eam rationem habere, quam numeri, qui ſeſe invicem conſequuntur, hoc pacto demonſtrabitur. Spatium enim ΚΛΜΝ ad circulum, cujus ea, quæ ex centro, ipſa eſt ΘΕ eam habet rationem, quam habent hæc utraque: ſpatium, quod ſub ΕΘ, ΘΔ continetur, et tertia pars quadrati, quod a ΔΕ deſcribitur, ad quadratum, quod deſcribitur a ΘΕ. Circulus autem, cujus ea, quæ ex centro, ipſa eſt ΘΕ, ad circulum, cujus ea, quæ ex centro, ipſa eſt ΘΔ, eam habet rationem, quam quadratum, quod a ΘΕ deſcribitur, ad quadratum, quod deſcribitur a ΘΔ: et circulus, cujus ea, quæ ex centro, ipſa eſt ΘΔ, ad ſpatium ΚΛΜΝ, eam habet rationem, quam quadratum, quod a ΘΔ deſcribitur, ad hæc utraque: ſpatium, quod ſub ΘΔ, ΘΓ continetur, et tertiam partem quadrati, quod deſcribitur a ΔΓ. Igitur etiam ſpatium ΚΛΜΝΞ ad ſpatium ΚΛΜΝ eam habet rationem, quam ſpatium, quod ſub ΘΕ, ΘΔ continetur, et tertia pars quadrati, quod a ΔΕ deſcribitur, ad ſpatium, quod continetur ſub ΔΘ, ΘΓ et tertiam partem quadrati, quod deſcribitur a ΔΓ. Et dividendo, ſpatium Ξ ad ſpatium ΚΛΜΝ eam habet rationem, quam exceſſus, quo ſpatium, quod ſub ΕΘ, ΘΔ continetur, una cum tertia parte quadrati, quod ab ΕΔ deſcribitur, excedit ſpatium, quod continetur ſub ΘΔ, ΔΓ, una cum tertia parte quadrati, quod deſcribitur a ΔΓ, ad ſpatium, quod continetur ſub ΘΔ, ΘΓ, et tertiam partem quadrati, quod deſcribitur a ΔΓ. Utraque autem ea ſpatia excedunt hæc utraque eo, quo ſpatium, quod ſub ΕΘ, ΘΔ continetur, excedit ſpatium, quod continetur ſub ΔΘΓ; hoc eſt ſpatio, quod continetur ſub ΔΘ, ΓΕ. Spatium igitur Ξ ad ſpatium ΚΛΜΝ eam habet rationem, quam ſpatium, quod ſub ΘΔ, ΓΕ continetur, ad ſpatium, quod continetur ſub ΔΘ, ΘΓ, et tertiam partem quadrati, quod deſcribitur a ΓΔ. Eadem ratione demonſtrabitur etiam ſpatium Ν ad ſpatium ΚΛΜ eam rationem habere, quam ſpatium quod ſub ΘΓ, ΒΔ continetur, ad hæc utraque: ſpatium, quod conti-

τὶ τὰ συναμφότερα, τό τε ὑπὸ τῶν ΒΘ, ΘΑ, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τῆς ΑΒ τετραγώνου· καὶ τὸ ΚΛΜ ἄρα ποτὶ τὸ ΚΛ λόγον ἔχει ὃν τὸ ὑπὸ τῶν ΓΘ, ΘΒ, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τῆς ΓΒ ποτὶ τὸ ὑπὸ τῶν ΒΘ, ΘΑ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τῆς ΑΒ. Ταῦτα δὲ ἔχει λόγον ποτὶ ἄλλαλα, ὃν ιθ' ποτὶ τὰ ζ'. Ὡς τε καὶ τὸ ΚΛΜ χωρίον ποτὶ τὸ ΛΚ χωρίον τοῦτον ἔχει τὸν λόγον, ὃν ιθ' ποτὶ τὰ ζ'. Αὐτὸ δὲ τὸ Μ ποτὶ τὸ ΚΛ λόγον ἔχει, ὃν τὰ ιβ' ποτὶ [a] τὸ ζ'. Τὸ δὴ ΚΛ ποτὶ τὸ Λ λόγον ἔχει, ὃν τὰ ζ' ποτὶ τὰ ς'. Δῆλον δὲ ὅτι διπλάσιόν ἐστι τὸ Μ τοῦ Λ. Ὅτι δὲ τὰ ἐπόμενα τὸν τῶν ἑξῆς ἀριθμῶν λόγον ἔχει, δειχθήσεται. Τὸ δὴ ΚΛΜΝΞ, ποτὶ τὸν κύκλον ὃν [b] ἐστιν ἐκ τοῦ κέντρου ἡ ΘΕ, τοῦτον ἔχει τὸν λόγον, ὃν ἔχει συναμφότερον, τό τε ὑπὸ τῶν ΕΘ, ΘΔ περιεχόμενον, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τῆς ΔΕ τετραγώνου, ποτὶ τὸ ἀπὸ τῆς ΘΕ τετράγωνον. Ὁ δὲ κύκλος [c] ὃν ἐστιν ἐκ τοῦ κέντρου ἡ ΘΕ, ποτὶ τὸν κύκλον ὃν ἐστιν ἐκ τοῦ κέντρου ἡ ΘΔ, τοῦτον ἔχει τὸν λόγον, ὃν τὸ ἀπὸ τῆς ΘΕ τετράγωνον ποτὶ τὸ ἀπὸ τῆς ΘΔ τετράγωνον. Ὁ δὲ κύκλος ὃν ἐστιν ἀπὸ τοῦ κέντρου ἡ ΔΘ, ποτὶ τὸ ΚΛΜΝ χωρίον, τοῦτον ἔχει τὸν λόγον, ὃν τὸ ἀπὸ τῆς ΘΔ τετράγωνον ποτὶ τὰ συναμφότερα, τό τε ὑπὸ τῶν ΘΔ, ΘΓ, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τῆς ΔΓ τετραγώνου. Καὶ τὸ ΚΛΜΝΞ ἄρα, ποτὶ τὸ ΚΛΜΝ λόγον ἔχει, ὃν τὸ ὑπὸ τῶν ΘΕ, ΘΔ, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τῆς ΔΕ, ποτὶ τὸ ὑπὸ τῶν ΔΘ, ΘΓ, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τῆς ΔΓ. Διελόντι, καὶ τὸ Ξ χωρίον ποτὶ τὸ ΚΛΜΝ λόγον ἔχει, ὃν ἡ ὑπεροχὰ, τοῦ τε ὑπὸ ΕΘ, ΘΔ μετὰ τοῦ τρίτου μέρους τοῦ ἀπὸ τῆς ΕΔ, καὶ τοῦ ὑπὸ ΔΘ, ΘΓ, μετὰ τοῦ τρίτου μέρους, τοῦ ἀπὸ τῆς ΔΓ ποτί τε τὸ ὑπὸ τῶν ΔΘ, ΘΓ, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τῆς ΔΓ. Ὑπερέχει δὲ τὰ συναμφότερα τῶν συναμφοτέρων, ᾧ καὶ τὸ ὑπὸ τῶν ΕΘ, ΘΔ, τῷ ὑπὸ τῶν ΔΘ, ΘΓ. Ὑπερέχει δὲ τῷ ὑπὸ τῶν ΔΘ, ΓΕ. Τὸ Ξ ἄρα ποτὶ τὸ ΚΛΜΝ λόγον ἔχει, ὃν τὸ ὑπὸ τῶν ΔΘ, ΕΓ, ποτὶ τὸ ὑπὸ τῶν ΔΘ, ΘΓ, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τῆς ΓΔ τετραγώνου. Διὰ δὲ τῶν αὐτῶν δειχθήσεται καὶ τὸ Ν ποτὶ τὸ ΚΛΜ χωρίον, λόγον ἔχον τοῦτον, ὃν τὸ ὑπὸ τῶν ΘΓ, ΒΔ ποτὶ τὰ συναμφότερα, τότε ὑπὸ ΓΘΒ, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ ΓΒ τετραγώ-

[a] τὰ Ζ [b] ἔστως [c] ἔστως ἐστὶν

νϐ. Τὸ Ν ἄρα ποτὶ τὸ ΚΛΜΝ χωρίον τὸν ἔχει τὸν λόγον, ὃν τὸ ὑπὸ ΘΓ, ΒΔ ποτὶ τὸ ὑπὸ ΘΓ, ΒΘ, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΓΒ καὶ τὸ ὑπὸ ΘΓ, ΒΔ. Καὶ ἀνάπαλιν. Ταῦτα δὲ ἴσα ἐντὶ τῷ τε ὑπὸ τᾶν ΔΘ, ΘΓ, καὶ τῷ τρίτῳ μέρει τᾶ ἀπὸ τᾶς ΓΔ τετραγώνᾳ. Ἐπεὶ ὧν τὸ μὲν Ξ χωρίον ποτὶ τὸ ΚΛΜΝ τὸν ἔχει τὸν λόγον, ὃν τὸ ὑπὸ τᾶν ΘΔ, ΓΕ ποτὶ τὰ συναμφότερα, τῷ τε ὑπὸ τᾶν ΔΘΓ, καὶ τὸ τρίτον μέρος τᾶ ἀπὸ τᾶς ΓΔ τετραγώνᾳ· τὸ δὲ ΚΛΜΝ ποτὶ τὸ Ν, ὃν τὰ συναμφότερα, τότε ὑπὸ τᾶν ΔΘΓ, καὶ τὸ τρίτον μέρος τᾶ ἀπὸ τᾶς ΓΔ τετραγώνᾳ, ποτὶ τὸ ὑπὸ τᾶν ΘΓ, ΔΒ· ἔχει ἄρα καὶ τὸ Ξ ποτὶ τὸ Ν τὸν αὐτὸν λόγον, ὃν τὸ ὑπὸ τᾶν ΘΔ, ΓΕ, ποτὶ τὸ ὑπὸ [q] τᾶν ΘΓ, ΔΒ. Τὸ δὲ ὑπὸ τᾶν ΘΔ, ΓΕ ποτὶ τὸ ὑπὸ τᾶν ΘΓ, ΔΒ, τὸν αὐτὸν ἔχει λόγον, ὃν ἀ ΘΔ ποτὶ τὰν ΘΓ· ἐπεὶ ἴσαι ἐντὶ αἱ ΓΕ, ΒΔ. Δῆλον ὧν, ὅτι καὶ τὸ Ξ ποτὶ τὸ Ν τοῦτον ἔχει τὸν λόγον, ὃν ἀ ΘΔ ποτὶ τὰν ΘΓ.

Ὁμοίως δὲ δειχθήσεται, καὶ τὸ Ν ποτὶ τὸ Μ τοῦτον ἔχειν τὸν λόγον, ὃν ἀ ΘΓ ποτὶ τὰν ΘΒ· καὶ τὸ Μ ποτὶ τὸ Λ, ὃν ἀ ΒΘ ποτὶ τὰν ΑΘ. Αἱ δὲ ΕΘ, ΔΘ, ΓΘ, ΒΘ, ΑΘ εὐθεῖαι, τὸν τῶν ἑξῆς ἀριθμῶν λόγον ἔχοντι.

netur ſub ΓΘΒ, et tertiam partem quadrati, quod deſcribitur a ΓΒ. Spatium igitur Ν ad ſpatium ΚΛΜΝ eam habet rationem, quam ſpatium, quod ſub ΘΓ, ΒΔ continetur, ad ſpatium, quod continetur ſub ΘΓ, ΘΒ, et tertiam partem quadrati, quod deſcribitur a ΓΒ, et amplius ſpatium, quod continetur ſub ΘΓ, ΒΔ. Et convertendo. Hæc autem ſpatia æqualia ſunt ſpatio, quod ſub ΔΘ, ΘΓ continetur, et tertiæ parti quadrati, quod a ΓΔ deſcribitur. Quoniam igitur ſpatium Ξ ad ſpatium ΚΛΜΝ eam habet rationem, quam ſpatium, quod ſub ΘΔ, ΓΕ continetur, ad hæc utraque; ſpatium, quod continetur ſub ΔΘΓ, et tertiam partem quadrati, quod deſcribitur a ΓΔ: et ſpatium ΚΛΜΝ ad ſpatium Ν habet eam, quam ſpatium, quod ſub ΔΘΓ continetur, et tertia pars quadrati, quod a ΓΔ deſcribitur, ad ſpatium, quod continetur ſub ΘΓ, ΔΒ: ideo ſpatium Ξ ad ſpatium Ν eam habet rationem, quam ſpatium, quod ſub ΘΔ, ΓΕ continetur, ad ſpatium, quod continetur ſub ΘΓ, ΔΒ. Spatium autem quod ſub ΘΔ, ΓΕ continetur, ad ſpatium, quod continetur ſub ΘΓ, ΔΒ, eam habet rationem, quam ΘΔ ad ΘΓ; quoniam ΓΕ, ΒΔ æquales ſibi invicem ſunt. Manifeſtum eſt igitur etiam ſpatium Ξ ad ſpatium Ν eam habere rationem, quam ΘΔ ad ΘΓ.

Pariter autem demonſtrabitur etiam ſpatium Ν ad ſpatium Μ eam habere rationem, quam ΘΓ ad ΘΒ: et ſpatium Μ ad ſpatium Λ, quam ΒΘ ad ΑΘ. Rectæ autem ΕΘ, ΔΘ, ΓΘ, ΒΘ, ΑΘ eam rationem habent, quam numeri, qui ſeſe invicem conſequuntur.

ΠΡΟΤΑΣΙΣ κη'.

Αἴκα ἐπὶ τᾶς ἕλικος τᾶς ἐν ὁποιᾳᾶν περιφορᾷ γεγραμμένας δύο σαμεῖα λαφθῶντι, μὴ τὰ πέρατα, ἀπὸ δὲ τῶν λαφθέντων σαμείων ἐπιζαχθῶντι εὐθεῖαι ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος, καὶ κέντρῳ μὲν τᾷ ἀρχᾷ τᾶς ἕλικος, διαστημάσι δὲ τοῖς ἀπὸ τῶν σαμείων ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος κύκλοι γραφεώντι· τὸ περιλαφθὲν χωρίον ὑπό τε τᾶς μείζονος τᾶν περιφερειᾶν τᾶς μεταξὺ τᾶν εὐθειᾶν, καὶ τᾶς ἕλικος τᾶς μεταξὺ τᾶν αὐτᾶν εὐθειᾶν, καὶ τᾶς εὐθείας τᾶς ἐκβληθείσας, τὸν ἔχει τὸν λόγον ποτὶ τὸ ἀπολαφθὲν χωρίον ὑπό τε τᾶς ἐλάσσονος περιφερείας, καὶ τᾶς αὐτᾶς ἕλικος καὶ τᾶς εὐθείας τᾶς ἐπιζευγνυούσας τὰ πέρατα αὐτᾶν, ὃν ἀ ἐκ τοῦ κέντρου τοῦ ἐλάσσονος κύκλου, μετὰ δύο [r] τριταμοριῶν τᾶς ὑπεροχᾶς, ᾇ ὑπερέχει ἀ ἐκ τοῦ κέντρου τοῦ μείζονος κύκλου τᾶς ἐκ τοῦ κέντρου ἐλάσσονος κύκλου ποτὶ τὰν ἐκ τοῦ κέντρου τοῦ ἐλάσσονος κύκλου, μετὰ ἑνὸς τριτεμορίου τᾶς αὐτᾶς ὑπεροχᾶς.

Ἔστω ἕλιξ, ἐφ' ἃς ἀ ΑΒΓΔ [s] μιᾷ περιφορᾷ γεγραμμένα, καὶ λελάφθω ἐπ' αὐτᾶς δύο σαμεῖα τὰ Α, Γ, ὥς τε τὸ Θ σαμεῖον ἀρχὰν εἶμεν τᾶς ἕλι-

PROP. XXVIII. Theor.

Si in helice quolibet orbe deſcripta duo puncta ſumantur, quæ non ſint ipſius termini, ducanturque a punctis, quæ modo ſumpſimus, rectæ ad principium helicis; deſcribanturque circuli centro quidem principio helicis, intervallis vero rectis ad principium helicis ductis: ſpatium, quod comprehenditur tum a majore circumferentia, quæ inter rectas interjicitur, tum ab helice, quæ interjicitur inter eaſdem rectas, rectaque producta; eam rationem habebit ad ſpatium, quod comprehenditur tum a minore circumferentia, tum ab eadem helice, rectaque terminos earum jungente, quam habet ea, quæ ex centro minoris circuli, cum duabus tertiis partibus exceſſus, quo ea, quæ ex centro majoris circuli, excedit eam, quæ ex centro minoris, ad eam, quæ ex centro minoris, una cum tertia ejuſdem exceſſus parte.


Sit helix ΑΒΓΔ uno orbe deſcripta, et ſumantur in ea duo puncta Α, Γ; ſitque punctum Θ principium helicis. Ducantur autem rectæ a

[q] τᾶν ΘΔΓΕ ποτὶ τὸ ὑπὸ τᾶν ΘΓΔΒ· τὸ δὲ ὑπὸ τᾶν ΘΓΕ [r] τριτεμορίων [s] μία περιφορᾶ

Digitized by Google

punctis A, Γ ad punctum Θ: et centro quidem puncto Θ, intervallis vero rectis ΘA, ΘΓ circuli describantur. Oportet demonstrare spatium Ξ ad spatium Π eamdem rationem habere, quam habet utraque recta; ΘA, et duæ tertiæ partes rectæ HA, ad rectam utramque; ΘA, et tertiam partem ipsius HA.

Spatium enim NΠ ad sectorem HΓΘ eam rationem habere demonstratum est, quam habet spatium, quod sub HΘ, AΘ continetur, et tertia pars quadrati, quod ab AH describitur, ad quadratum, quod describitur ab HΘ. Spatium igitur Ξ ad spatium NΠ eam habet rationem, quam spatium, quod sub ΘAH continetur, una cum duabus tertiis partibus quadrati, quod a HA describitur, ad hæc utraque; spatium, quod continetur sub AΘH, et tertiam partem quadrati, quod describitur ab HA. Et quoniam spatium NΠ ad sectorem NΠΞ eam habet rationem, quam habent hæc utraque: spatium, quod sub ΘA, ΘH continetur, et tertia pars quadrati, quod describitur ab HA, ad quadratum, quod describitur a ΘH; sector autem NΠΞ ad sectorem N eam habet, quam quadratum, quod a ΘH describitur, ad quadratum, quod describitur a ΘA: habebit etiam spatium NΠ ad sectorem N eamdem rationem, quam habent hæc utraque; spatium, quod sub ΘA, ΘH continetur, et tertia pars quadrati, quod ab HA describitur, ad quadratum, quod describitur a ΘA. Spatium igitur NΠ ad spatium Π eam rationem habet, quam hæc utraque; spatium, quod sub HΘA continetur, et tertia pars quadrati, quod ab HA describitur, ad hæc utraque; spatium, quod continetur sub HA, ΘA, et tertiam partem quadrati, quod describitur ab HA. Quoniam igitur spatium Ξ ad spatium NΠ eam habet rationem, quam hæc utraque; spatium, quod sub ΘAH continetur, et duæ tertiæ partes quadrati, quod ab HA describitur, ad hæc utraque; spatium, quod continetur sub HΘA, et tertiam partem quadrati, quod describitur ab HA: spatium autem NΠ ad spatium Π habet eam, quam hæc utraque; spatium, quod sub HΘA continetur, et tertia pars quadrati, quod ab HA describitur, ad hæc utraque; spatium, quod continetur sub HAΘ, et tertiam partem quadrati, quod describitur ab HA: habebit etiam spatium Ξ ad spatium Π eamdem rationem, quam habent hæc utraque; spatium, quod sub ΘA, HA continetur, et duæ tertiæ partes quadrati, quod ab HA describitur, ad hæc utraque; spatium,



κος. Καὶ ἀπὸ τῶν Α, Γ, ἐπιζεύχθωσαν εὐθεῖαι ἐπὶ τὸ Θ· καὶ κέντρῳ τῷ Θ, διαστήμασι δὲ τοῖς ΘΑ, ΘΓ, κύκλοι γεγράφθωσαν. Δεικτέον ὅτι τὸ Ξ χωρίον ποτὶ τὸ Π τὸν αὐτὸν ἔχει λόγον, ὃν ἔχει συναμφότερος, ἃ ΘΑ, καὶ δύο τριταμόρια τῆς ΗΑ ποτὶ συναμφότερον [t]τάν τε ΘΑ, καὶ ἓν τεταμόριον τῆς ΗΑ.

Τὸ γὰρ χωρίον τὸ ΝΠ ποτὶ τὸν ΗΓΘ τομέα δέδεικται τὸν [u]ἔχειν τὸν λόγον, ὃν ἔχει τότε ὑπὸ τῶν ΗΘ, ΑΘ, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τῆς ΑΗ τετραγώνου, ποτὶ τὸ ἀπὸ τῆς ΗΘ τετράγωνον. Αὐτὸ ἄρα τὸ Ξ ποτὶ τὸ ΝΠ τὸν αὐτὸν ἔχει τὸν λόγον, ὃν ἔχει τὸ ὑπὸ τῶν ΘΑΗ μετὰ δύο τριταμοριῶν τοῦ ἀπὸ τῆς ΗΑ τετραγώνου, ποτὶ τὰ συναμφότερα, τό τε ὑπὸ τῶν ΑΘΗ, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τῆς ΗΑ. Καὶ ἐπεὶ τὸ ΝΠ χωρίον ποτὶ [w]τὸ ΝΠΞ τομέα τὸν αὐτὸν ἔχει λόγον, ὃν ἔχει συναμφότερα, τότε ὑπὸ τῶν ΘΑ, ΘΗ, καὶ τὸ τελεῖον μέρος τοῦ ἀπὸ τῆς ΗΑ, ποτὶ τὸ ἀπὸ τῆς ΘΗ τετράγωνον, [w]ὁ δὲ ΝΠΞ τομεὺς ποτὶ τὸν Ν τομέα διπλάσιον ἔχει τὸν λόγον, ἢ τὸ ἀπὸ τῆς ΘΗ ποτὶ τὸ ἀπὸ τῆς ΘΑ· ἔξει ἄρα καὶ τὸ ΝΠ χωρίον ποτὶ τὸν Ν [x]τομέα τὸν αὐτὸν λόγον, ὃν ἔχει συναμφότερα, τό τε ὑπὸ ΘΑ, ΘΗ, καὶ τὸ τρίτον μέρος τοῦ [y]ἀπὸ τῆς ΗΑ, ποτὶ τὸ ἀπὸ ΘΑ. [y]Τὸ ἄρα ΝΠ χωρίον ποτὶ τὸ Π λόγον ἔχει, ὃν συναμφότερα, τό τε ὑπὸ τῶν ΗΘΑ, καὶ τὸ τρίτον μέρος τοῦ [z]ἀπὸ τῆς ΗΑ, ποτὶ συναμφότερα, τό τε ὑπὸ [a]τῶν ΗΑ, ΘΑ, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τῆς ΗΑ τετραγώνου. Ἐπεὶ οὖν τὸ Ξ χωρίον ποτὶ τὸ ΝΠ τὸν αὐτὸν ἔχει λόγον, ὃν ἔχει συναμφότερα, τό τε ὑπὸ ΘΑΗ, καὶ δύο τριταμόρια τοῦ ἀπὸ τῆς ΗΑ τετραγώνου, ποτὶ τὰ συναμφότερα, τό τε ὑπὸ τῶν ΗΘΑ, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τῆς ΗΑ· τὸ δὲ ΝΠ χωρίον ποτὶ τὸ Π τὸν αὐτὸν ἔχει λόγον, ὃν συναμφότερα, τό τε ὑπὸ τῶν ΗΘΑ, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τῆς ΗΑ τετραγώνου, ποτὶ συναμφότερα, τό τε ὑπὸ τῶν ΗΑΘ, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τῆς ΗΑ τετραγώνου· ἔξει καὶ τὸ Ξ [b]χωρίον ποτὶ τὸ Π τὸν λόγον, ὃν ἔχει συναμφότερα, τό τε ὑπὸ τῶν ΘΑ, ΗΑ, καὶ δύο τριταμόρια τοῦ ἀπὸ τῆς ΗΑ, ποτὶ συναμφότερα, τό τε ὑπὸ τῶν ΘΑ, ΗΑ, καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τῆς ΗΑ. Τὰ δὲ συναμφότερα, τό τε ὑπὸ [c]τῶν ΘΑ,

[t] τάντε ΗΘ, καὶ ἓν τριταμόριον τῆς ΜΑ [u] ἔχων [w] ὁ δὲ ΝΗΞ [x] In MS. τομία deest. [y] τὸ ἄρα ΝΠ πρὸς τὸ Π Α
[z] ἀπὸ τῆς ΜΑ συναμφότερον [a] τῶν ΗΑ, ΘΕ [b] In MS. χωρίον deest. [c] τῶν ΘΗ, ΗΑ

Digitized by Google

ΗΑ, καὶ δύο τριτημόρια τοῦ ἀπὸ τᾶς ΗΑ, ποτὶ συναμφότερα, τό τε ὑπὸ [d] τᾶν ΘΑ, ΗΑ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΗΑ τετραγώνου, τοῦτον ἔχει τὸν λόγον, ὃν ἔχει συναμφότερα, [e] ἅτε ΘΑ καὶ δύο τριτημόρια τᾶς ΗΑ, ποτὶ συναμφοτέραν, [f] τὰν ΘΑ, καὶ τὸ τρίτον μέρος τᾶς ΗΑ. Δῆλον δὲ ὅτι καὶ τὸ Ξ χωρίον ποτὶ τὸ Ν χωρίον τοῦτον ἔχει τὸν λόγον, ὃν συναμφότερα, [g] ἅτε ΘΑ, καὶ δύο τριτημόρια τᾶς ΗΑ, ποτὶ συναμφότερον, [h] τὰν ΘΑ, καὶ τὸ τρίτον μέρος τᾶς ΗΑ.

quod continetur ſub ΘΑ, ΗΑ, et tertiam partem quadrati, quod deſcribitur ab ΗΑ. Utraque autem hæc; ſpatium, quod ſub ΘΑ, ΗΑ continetur, et duæ tertiæ partes quadrati, quod ab ΗΑ deſcribitur, ad hæc utraque; ſpatium; quod continetur ſub ΘΑ, ΗΑ, et tertiam partem quadrati, quod deſcribitur ab ΗΑ, eam habent rationem, quam habet utraque; recta ΘΑ et duæ tertiæ partes rectæ ΗΑ, ad rectam utramque; ΘΑ, et tertiam partem ipſius ΗΑ. Manifeſtum eſt igitur etiam ſpatium Ξ ad ſpatium Ν eam habere rationem, quam utraque; recta ΘΑ et duæ tertiæ partes rectæ ΗΑ, ad rectam utramque; ΘΑ, et tertiam partem ipſius ΗΑ.

[d] τᾶν ΘΗΑ [e] ἅτι ΘΗ [f] τὰν ΘΗ [g] ἅτι ΘΗ [h] τᾶν ΘΗ

IN MS. SCHOLIUM ITA SE HABET.

Ἵνα δὲ καὶ τῶν ἀριθμῶν, ἀκολούθως τῇ λέξει σαφηνιθῇ τὸ θεώρημα, ὑποκείσθω τὰ αὐτὰ καὶ οἱ (ἀριθμοὶ) ϛϛ ὑπογεγράφθωσαν ὡς ὑπόκηται σὺν τοῖς πολλαπλασιασμοῖς εἶναι, καὶ πρωθέντι εὑρεῖν τὰ ἀπὸ τῶν τῶ ἴσω ἀλλήλων ὑπερέχοντα μετὰ τῶν ἀπὸ ΙΚΛΜΝΞΟ καὶ τοῦ ἀπὸ τᾶς α ΑΧΛΒ. τὰ δὲ ἀπὸ τῶν τῶ ἴσῳ ἀλλήλων ὑπερεχουσῶν ΩΙΣ. δῆλον δὲ τὸ λεγόμενον. Λοιπὸν ἐπιδεῖξαι βάλεται ὅτι τὰ δὶς ὑπὸ πάντα μετὰ τῶν ἀπὸ ΙΚΛΜΝΞΟ τοῦ ἀπὸ τᾶς Β, καὶ πασῶν τῶν τῷ ἴσῳ ἀλλήλων ὑπερεχουσῶν, ἴσον ἐστὶ τοῖς πασῶν τῶν τῶ ἴσω ἀλλήλων ὑπερεχουσῶν· καὶ ἔστιν μὲν αὐτὸ θ' ὑποκειμένων τῶν ἀριθμῶν πρόχειρον. ὁ δέ γε Ἀρχιμήδης, γραμμικῶς αὐτὸ βουλόμενος δεῖξαι, μετάγει τὸν λόγον καὶ φησὶν. ἐπεὶ δύο μὲν τὰ ὑπὸ τῶν ΒΙ περιεχόμενα ἴσα τῷ ὑπὸ τᾶς διπλασίας τᾶς Β καὶ τᾶς Θ καὶ τὰ ἑξῆς. φανερὰ δὲ ταῦτα ἀναγράψαντίσοι τὰ χωρία. δῆλον δὲ ὅτι καὶ οἱ (ἀριθμοὶ) ϛϛ ἀπαντήσωσιν, ὡς γὰρ ἔπι τοῦ δὶς ὑπὸ ΒΙ ὄζοι. ἡ μὲν ΒΙΔ. ἡ δὲ ΙΒ. ὥς τε καὶ τὸ ὑπ' αὐτῶν γίνηται νϛ'. καὶ ἔστι ἡ ΒΙΔ. ἡ ἄρα διπλῆ ΚΗ ἐπὶ τὸν Β, διὰ τὸ ἴσων εἶναι τῇ Ι. τῆς Θ γάρ. ὁμοίως δὴ ἡ τετραπλῆ τᾶς ΓΝ ϛ ΓΧΜΝ. ἡ δὲ ἑξαπλῆ τᾶς ΔΓΧΞ. ἡ δὲ ὀκταπλῆ τᾶς ΕΓΧΞΔ καὶ ἐφεξῆς ὑπόκειται, ὥς ἡ τε ἐκ πασῶν τᾶς τε διπλᾶς καὶ τετραπλᾶς καὶ ἑξαπλᾶς καὶ τῶν λοιπῶν Θ. τῷ δὲ γράμματι ΓΧΤΛΣ. εἶτα πάλιν. τὰ δὲ ΣΜΝ πάντα ποτιλαβόντα τὸ περιεχόμενον ὑπό τε τᾶς Θ, καὶ τας ἴσας. πάσαις ταῖς ΑΒΓΔΕΖΗΘ ἐσσεῖται ἴσα τῷ περιεχομένῳ ὑπότε τᾶς Θ, καὶ τᾶς ἴσας πάσαις, τᾶτε Α καὶ τὰ τριπλασία τᾶς Β καὶ ἑξῆς· ἐπεὶ γὰρ λέγων τὸ δὶς ὑπὸ τᾶς Β καὶ τετραπλῆς τᾶς Γ, καὶ ἑξῆς ἐπάγει ἐν αὐτοῖς τῷ τε ὑπὸ τᾶς Θ καὶ τᾶς ἴσης πάσαις τῶν τῷ ἴσω ἀλλήλων ὑπερεχουσῶν, ὐδὲν ἕτερον, ἢ ὅτι τῇ διπλῇ τᾶς Β, ἐπάγει καὶ ἑτέραν, ὡς γίνεσθαι τριπλῆν, καὶ τῇ τετραπλῇ τᾶς Γ, ἐπάγει καὶ πέμπτην, καὶ ἑξῆς ὁμοίως, γχ ὧν ὡς εἴρηται ἡ διπλῆ τᾶς Β. καὶ τετραπλῆ τᾶς Γ καὶ ἑξῆς τῶν λοιπῶν ΤΛΣ. καὶ ἔστι ἡ ΘΒ τὸ ὑπόδηλον ὅτι ΧΟΒ. ἡ δὲ ἴση πάσαις ταῖς τῷ ἴσω ἀλλήλαις ὑπερεχουσῶν ΓΧΟΒΑ ἐπὶ τὸν ΒΓΧΡΜΔ, μετὰ τῶν ΧΟΒΓΧΩΙΣ. ἡ δὲ τριπλῆ τᾶ ΒΓΧΜΒ. καὶ ἑξῆς ὡς ὑπόκειται. ἔστι ὧν ἃ συγκειμένη ἐκ τᾶς Α καὶ τᾶς τριπλᾶς τᾶς Β, καὶ πενταπλᾶς. καὶ τῶν ἑξῆς ΓΗ τὸν δύο ΓΧΩΙϛ ἅπερ ὄζοι καὶ τὰ ἀπὸ τῶν ΑΒΓΔΕΖΗΘ.

α	β	ι	γ	κ	δ	λ	ε	μ	ζ	ν	η	ξ	θ	ο
Μ ιϛ′	Μ ιδ′	Μ ϛ′	Μ ιβ′.	Μ δ	Μ ί.	Μ ϛ′	Μ η′	Μ ϛ	Μ ϛ′.	Μ ι′	Μ δ′	Μ ιβ′	Μ Μ ιδ′	
Μ ο	π ο	π ο	π ο	π ὸ	π ο	π ο	π ο	π ο	π ο	π ο	π ο	π ο	π ο	
α Μ στϛ′	α Μ ρμϛ′.	α Μ	α Μ	α Μ	α Μ	α Μ	α Μ	α Μ	α Μ	α Μ	α Μ	α Μ	α Μ	α Μ
		Δ′.	ϱ Μ δ′	ιϛ′	ϱ⁷ι	λϛ′	ξδ′	ξδ′	λϛ′	ϱ⁷ι	ιϛ′	ϱμδ′	Δ ϱϛ′	
	π ὸ		π ο		π ο		π ο		π ο		π ο		π ο	
Ἔστω γὰρ κώνός τις, ἐν ᾧ τὸ Ψ, διπλασίων τοῦ κώνου, τοῦ βάσιν ἔχοντος τὰν αὐτὰν τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτόν, [a] τετράκις ἀ Θ B. Φαμὶ δὴ τὸ ἀμίσεον τοῦ σφαιροειδέος ἴσον εἶμεν τῷ Ψ κώνῳ. Εἰ γὰρ μή ἐστιν ἴσον τὸ ἀμίσεον τοῦ σφαιροειδέος τῷ Ψ κώνῳ, ἔστω πρῶτον, εἰ δυνατόν, μεῖζον. Ἐγγεγράφθω δὴ εἰς τὸ τμᾶμα τὸ ἀμίσεον τᾶ σφαιροειδέος σχῆμα στερεόν, καὶ ἄλλο περιγεγράφθω, ἐκ κυλίνδρων ὕψος ἴσον ἐχόντων συγκείμενον· ὥς τε τὸ περιγραφὲν σχῆμα τοῦ ἐγγραφέντος ὑπερέχειν ἐλάσσονι, ἢ ἀλίκῳ ὑπερέχει τὸ ἀμίσεον τοῦ σφαιροειδέος τοῦ Ψ κώνου. Ἐπεὶ ἔν μεῖζον ἐὸν τὸ περιγεγραμμένον σχῆμα τοῦ ἀμίσεως τοῦ σφαιροειδέος, [b] ἔλασσον ὑπερέχει τοῦ ἐγγεγραμμένου σχήματος, ἢ τὸ ἀμίσεον τᾶ σφαιροειδέος τοῦ Ψ κώνου· δῆλον ἔν ὅτι καὶ τὸ ἐγγεγραμμένον σχῆμα ἐν τῷ τμάματι τᾶ ἀμίσεως τοῦ σφαιροειδέος μεῖζόν ἐστι τᾶ Ψ κώνου. Ἔστω δὴ κύλινδρος ὁ βάσιν μὲν ἔχων τὸν κύκλον τὸν περὶ διάμετρον τὰν A Γ, ἄξονα δὲ τὰν B Θ. Ἐπεὶ ἔν ἔστος ὁ κύλινδρος τριπλάσιός ἐστι τᾶ κώνου τᾶ βάσιν ἔχοντος τὰν αὐτὰν τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτόν, ὁ δὲ Ψ κῶνος διπλάσιός ἐστι τοῦ αὐτᾶ κώνου, δῆλον ὡς ὁ κύλινδρος ἡμιόλιός ἐστι τοῦ Ψ κώνου. Ἐκβεβλήθω δὴ τὰ ἐπίπεδα τῶν κυλίνδρων πάντων, ἐξ ὧν σύγκειται τὸ ἐγγεγραμμένον σχῆμα, ἔστι ποτὶ τὰν ὑπιφάνειαν τοῦ κυλίνδρου, τοῦ βάσιν ἔχοντος τὰν αὐτὰν τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτόν. Ἐστείτω δὴ ὁ ὅλος κύλινδρος διαιρόμενος εἰς

[a] Sic MS. [b] ἔλασσον ὑπερέχει τᾶ γεγραμμένου σχήματος, ἢ τὸ ἀμίσεον in MS. desunt.

Digitized by Google

κυλίνδρους, τῷ μὲν πλήθει ἴσους τοῖς κυλίνδροις τοῖς ἐν τῷ περιγεγραμμένῳ σχήματι, τῷ δὲ μεγέθει ἴσους τῷ μεγίστῳ αὐτῶν. [i]Ἐστω δὴ ἐν γραμμαὶ κείμεναι, ἐφ' ἃν τὰ Ξ, τῷ πλήθει ἴσαι τοῖς [k]τμήμασι τὰς ΒΘ εὐθείας, τῷ δὲ μεγέθει ἴσα ἑκάστα τοῖς ΒΘ· καὶ ἀπ' ἑκάστας τετράγωνον ἀναγεγράφθω. Ἀφῃρήθω δὴ ἀπὸ μὲν τοῦ ἐσχάτου τετραγώνου γνώμων, πλάτος ἔχων ἴσην τῇ ΒΙ. Ἐστείτω δὲ ὕψος ἴσος τῷ περιεχομένῳ ὑπὸ τῶν ΒΙ, ΙΔ. Ἀπὸ δὴ τοῦ παρ' αὐτῷ τετραγώνου γνώμων ἀφῃρήθω, πλάτος ἔχων διπλάσιον τῆς ΒΙ. Ἐστείτω δὴ οὗτος ἴσος τῷ περιεχομένῳ ὑπὸ τῶν ΒΧ, ΧΔ. Καὶ ἀεὶ ἀπὸ τοῦ ἑπομένου τετραγώνου γνώμων ἀφῃρήθω πλάτος μὲν ἔχων ἑνὶ τμάματι, μεῖζον τοῦ πλάτους τοῦ πρὸ αὐτοῦ ἀφαιρημένου γνώμονος. Ἐστείτω δὴ ἕκαστος αὐτῶν ἴσος τῷ περιεχομένῳ ὑπὸ τῶν τῆς ΒΔ τμημάτων, ὧν τὸ ἕτερον τμῆμα ἴσον ἐστὶ τῷ πλάτει τοῦ γνώμονος. Ἐστείτω δὴ καὶ ἀπὸ τοῦ τετραγώνου τοῦ δευτέρου τὸ λοιπὸν τετράγωνον, τὰν πλευρὰν ἔχον ἴσαν τῇ ΘΕ. Ὁ δὴ κύλινδρος ὁ πρῶτος τῶν ἐν τῷ ὅλῳ κυλίνδρῳ, ὁ ἔχων ἄξονα τὰν ΘΕ, ποτὶ τὸν κύλινδρον τὸν πρῶτον τῶν ἐν τῷ ἐγγεγραμμένῳ σχήματι, τὸν αὐτὸν [l]ἔχοντα ἄξονα τὰν ΘΕ, τὸν αὐτὸν ἔχει λόγον, ὃν τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΑΘ, ποτὶ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΚΕ· ὥστε καὶ ὃν τὸ ὑπὸ τῶν ΒΘ, ΘΔ περιεχόμενον, ποτὶ τὸ ὑπὸ τῶν ΒΕ, ΕΔ περιεχόμενον. Ἔχει δὲ ὁ κύλινδρος ποτὶ τὸν κύλινδρον τὸν αὐτὸν λόγον, ὃν τὸ πρῶτον τετράγωνον ποτὶ τὸν γνώμονα τὸν ἀπὸ τοῦ δευτέρου τετραγώνου ἀφαιρημένον. Ὁμοίως δὲ καὶ τῶν ἄλλων κυλίνδρων ἕκαστος, ἄξονα ἐχόντων ἴσαν τῇ ΘΕ, ποτὶ τὸν κύλινδρον τὸν ἐν τῷ ἐγγεγραμμένῳ σχήματι, καὶ ἔχοντα ἄξονα τὸν αὐτὸν, τοῦτον ἔχει τὸν λόγον, ὃν τὸ τετράγωνον ὁμοίως τεταγμένον αὐτῷ ποτὶ τὸν γνώμονα, τὸν ἀπὸ τοῦ ἑπομένου αὐτῷ τετραγώνου [m]ἀφαιρημένον. Ἐντὶ δή τινα μεγέθεα, οἱ κύλινδροι οἱ ἐν τῷ ὅλῳ κυλίνδρῳ, καὶ ἄλλα, τετράγωνα τὰ ἀπὸ τῶν Ξ, Ξ ἴσα τῷ πλήθει τοῖς κυλίνδροις, καὶ κατὰ δύο τὸν αὐτὸν λόγον ἔχοντα. Λέγονται δὲ οἱ κύλινδροι ποτ' ἄλλα μεγέθεα, τοὺς κυλίνδρους τοὺς ἐν τῷ ἐγγεγραμμένῳ σχήματι· ὁ δὲ ἔσχατος οὐδὲ ποθὲν λέγεται· καὶ τὰ τετράγωνα ποτ' ἄλλα μεγέθεα, τοὺς ἀπὸ τῶν τετραγώνων [n]ἀφαιρεμένους, ὁμόλογα ἐν τοῖς αὐτοῖς λόγοις· τὸ δὲ ἔσχατον τετράγωνον οὐδὲ ποθὲν λέγεται. Πάντες ἄρα οἱ κύλινδροι, οἱ ἐν τῷ ὅλῳ κυλίνδρῳ, ποτὶ πάντας τοὺς ἑτέρους κυλίνδρους, τὸν αὐτὸν ἐξοῦντι λόγον, ὃν πάντα τὰ τετράγωνα ποτὶ πάντας τοὺς γνώμονας, τοὺς [o]ἀφαιρεμένους ἀπ' αὐτῶν. Ὁ ἄρα κύλινδρος ὁ βάσιν ἔχων τὰν αὐτὰν τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτὸν, ποτὶ τὸ ἐγγεγραμμένον σχῆμα τὸν αὐτὸν ἔχει λόγον, ὃν πάντα τὰ τετράγωνα ποτὶ πάντας τοὺς γνώμονας, τοὺς ἀφαιρεμένους ἀπ' αὐτῶν. Τὰ δὲ τετράγωνα πάντων τῶν

cumſcripta figura ſunt, magnitudine vero æquales unuſquiſque eorum maximo. Poſita modo ſint lineæ, in quibus Ξ, multitudine quidem æquales ſegmentis rectæ ΒΘ, magnitudine vero æquales unaquæque eidem ΒΘ: et ab unaquaque earum deſcribatur quadratum. Auferatur autem a poſtremo quadrato gnomon, latitudinem habens ſegmentum ΒΙ. Æqualis hic erit ſpatio, quod ſub ΒΙ, ΙΔ continetur. At vero a quadrato illi proximo gnomon auferatur latitudinem habens ipſius ΒΙ duplam. Atque hic æqualis erit ſpatio, quod continetur ſub ΒΧ, ΧΔ. Auferatur deinceps continuo a quadrato, quod proxime ſequitur, gnomon latitudinem habens ſegmento uno majorem latitudine gnomonis, qui proxime ablatus eſt. Erit utique eorum unuſquiſque æqualis ſpatio, quod ſub ſegmentis ipſius ΒΔ continetur; quorum ſegmentorum alterum latitudini gnomonis æquale eſt. Quod autem quadratum a ſecundo quadrato relinquitur, id latus habebit æquale ipſi ΘΕ. Jam cylindrus primus eorum, qui in toto cylindro ſunt, axem habens ΘΕ, ad cylindrum eorum primum, qui ſunt in inſcripta figura, ΘΕ eundem axem habentem, eamdem habet rationem, quam quadratum, quod ab ΑΘ deſcribitur, ad quadratum, quod deſcribitur a ΚΕ: quare et quam ſpatium, quod ſub ΒΘ, ΘΔ continetur, ad ſpatium, quod continetur ſub ΒΕ, ΕΔ. Habet igitur cylindrus ad cylindrum eamdem rationem, quam primum quadratum ad gnomonem, qui a ſecundo quadrato ablatus eſt. Pariter aliorum etiam cylindrorum unuſquiſque axem habentium ipſi ΘΕ æqualem, ad cylindrum, qui eſt in inſcripta figura, eumdem axem habentem, eam habet rationem, quam reſpondens ipſi quadratum ad gnomonem, qui a quadrato, quod proxime ſequitur, ablatus eſt. Itaque quædam ſunt magnitudines, nempe cylindri, qui in toto cylindro ſunt; aliæque item magnitudines, nempe quadrata, quæ a lineis Ξ, Ξ deſcribuntur, multitudine cylindris æquales, eamdemque binæ ad binas rationem habentes. Comparantur autem cylindri cum aliis magnitudinibus, hoc eſt cum cylindris, qui ſunt in inſcripta figura; poſtremus autem cum nullo comparatur: et adhuc quadrata comparantur cum aliis magnitudinibus, hoc eſt cum gnomonibus, qui a quadratis auferuntur, reſpondentibus, ſibi iiſdem rationibus; poſtremum vero cum nullo comparatur. Igitur omnes cylindri, qui in toto cylindro ſunt, ad alios omnes cylindros, eamdem habebunt rationem, quam omnia quadrata ad omnes gnomones, qui ab ipſis ablati ſunt. Cylindrus igitur, qui eamdem ac ſegmentum baſim habet, eumdemque axem, ad inſcriptam figuram eamdem habet rationem, quam omnia quadrata ad omnes gnomones, qui ab ipſis ablati ſunt. Hæc autem quadrata gnomonum omnium,

[i] ἔστωσαν οὖν [k] τμήμασι τοῖς τᾶς [l] ἔχοντι [m] ἀφῃρημένου [n] ἀφαιρημένους [o] ἀφαιρομένους

Digitized by Google

qui ab ipſis ablati ſunt, majora ſunt quam ſeſquialtera. Poſitæ enim ſunt quædam lineæ ΞP, ΞΣ, ΞT, ΞΥ, ΞΦ æqualiter ſeſe invicem excedentes, quarum minima exceſſui æqualis eſt. Præterea aliæ ſunt lineæ, in quibus duo Ξ, Ξ multitudine quidem illis æquales, magnitudine vero æquales unaquæque maximæ. Quæ igitur quadrata ab iis omnibus deſcribuntur, quarum unaquæque maximæ æqualis eſt, quadratorum quidem omnium, quæ deſcribuntur ab æqualiter ſeſe invicem excedentibus, minora ſunt quam tripla: reliquorum vero, dempto eo, quod deſcribitur a maxima, majora quam tripla. Hoc enim in iis, quæ de helicibus edita ſunt, demonſtratum eſt. Quoniam autem quadrata omnia, minora ſunt, quam tripla aliorum quadratorum, quæ ab ipſis ablata fuerunt; conſtat ſpatiorum, quæ reliqua ſunt, majora eſſe, quam ſeſquialtera. Gnomonum igitur majora ſunt, quam ſeſquialtera. Quare etiam cylindrus, qui eamdem ac ſegmentum baſim habet, eumdemque axem, major eſt, quam ſeſquialter figuræ inſcriptæ: quod fieri non poteſt. Eſt enim ſeſquialter coni Ψ: inſcripta vero figura cono Ψ major eſſe demonſtrata eſt. Non eſt igitur majus dimidium ſphæroidis cono Ψ. Neque vero eſt minus. Sit enim, ſi fieri poteſt, minus. Itaque rurſus dimidio ſphæroidis ſolida figura inſcribatur, itemque alia circumſcribatur ex cylindris æqualem altitudinem habentibus compoſita; ita ut circumſcripta figura excedat inſcriptam magnitudine minore, quam qua conus Ψ dimidium ſphæroidis excedit; eademque alia, quæ ſupra, conſtruantur. Quoniam igitur inſcripta figura minor eſt ſegmento, conſtat etiam circumſcriptam cono Ψ minorem eſſe. Itaque rurſus cylindrus primus eorum, qui in toto cylindro ſunt, axem habens ΘE, ad cylindrum eorum primum, qui ſunt in circumſcripta figura, ΘE axem habentem, eamdem habet rationem, quam primum quadratum ad ſemetipſum. Secundus autem cylindrus eorum, qui in toto cylindro ſunt, axem habens EΠ, ad ſecundum cylindrum, qui eſt in circumſcripta figura, EΠ axem habentem, eamdem habet rationem, quam quadratum ſecundum cum ad gnomonem, qui ab ipſo ablatus eſt. Aliorum item cylindrorum unuſquiſque, qui in toto cylindro ſunt, axem habentium ipſi ΘE æqualem, ad cylindrum, qui ſecundum ipſum eſt in circumſcripta figura, eumdemque habet axem, eam habet rationem, quam reſpondens ipſi quadratum ad gnomonem, qui ab ipſo ablatus eſt. Igitur omnes etiam cylindri, qui in toto cylindro ſunt, ad omnes cylindros, qui ſunt in circumſcripta figura, eamdem habebunt rationem, quam omnia quadrata ad ſpatium æquale tum primo quadrato, tum gnomonibus, qui a reliquis quadratis ablati ſunt. Quadrata autem omnia minora ſunt

γνωμόνων τῶν ἀφαιρημένων ἀπ' αὐτῶν, μείζονά ἐστι ἢ ἡμιόλια. Ἐστὶ γάρ τινες γραμμαὶ κείμεναι [p] αἱ ΞP, ΞΣ, ΞT, ΞΥ, ΞΦ, τῷ ἴσῳ ἀλλάλαις ὑπερέχουσαι, καὶ ἃ ἐλαχίστα ἴσα τὰ [q] ὑπεροχᾷ. Ἐστὶ δὲ καὶ ἄλλαι γραμμαὶ, ἐφ' ἃν τὰ δύο Ξ, Ξ, τῷ μὲν πλήθει ἴσαι ταύταις, τῷ δὲ μεγέθει ἑκάστα ἴσα τοῖς μεγίστοις. Τὰ [r] εὐθὺ τετράγωνα τὰ ἀπὸ πασῶν, ἃ ἐστιν ἑκάστα ἴσα τοῖς μέγιστα, πάντων μὲν τετραγώνων τῶν ἀπὸ τῶν ἴσῳ ἀλλάλαις ὑπερεχουσῶν, ἐλάσσονά ἐστι ἢ [s] τριπλάσια· τῶν δὲ λοιπῶν, χωρὶς τοῦ ἀπὸ τῆς μεγίστας, μείζονα ἢ τριπλάσιον. Τοῦτο γὰρ ἐν τοῖς περὶ τῶν [t] ἑλίκων ἐκδεδομένοις δέδεικται. Ἐπεὶ δὲ πάντα τὰ τετράγωνα ἐλάσσονά ἐστι, ἢ [u] τριπλάσια τῶν ἑτέρων τετραγώνων, ἃ ἐστὶ ἀφαιρημένα ἀπ' αὐτῶν, δῆλον ὅτι τῶν λοιπῶν μείζονά ἐστὶ ἢ ἡμιόλια. Τῶν δὲ γνωμόνων μείζονα ἢ ἡμιόλια. Ὡς τε καὶ ὁ κύλινδρος ὁ βάσιν μὲν ἔχων τὴν αὐτὴν τῷ τμήματι, καὶ ἄξονα τὸν αὐτὸν, μείζων ἐστὶν [v] ἢ ἡμιόλιος τοῦ ἐγγεγραμμένου σχήματος· ὅπερ ἀδύνατον. Τοῦ γὰρ Ψ κώνου ἡμιόλιός ἐστι· τὸ δὲ ἐγγεγραμμένον σχῆμα μεῖζον ἐδείχθη τοῦ Ψ κώνου. Οὐκ ἄρα ἐστὶ μεῖζον τὸ ἀμίσειον τοῦ σφαιροειδέος τοῦ Ψ κώνου. Οὐδὲ πάνυ ἔλασσον. Ἔστω γὰρ, εἰ δυνατὸν, ἔλασσον. Πάλιν δὴ ἐγγεγράφθω εἰς τὸ [x] ἀμίσειον τοῦ σφαιροειδέος σχῆμα στερεὸν, καὶ ἄλλο περιγεγράφθω ἐκ κυλίνδρων ὕψος ἴσον ἐχόντων συγκείμενον· ὡς τε τὸ περιγραφὲν σχῆμα τοῦ ἐγγεγραφέντος ὑπερέχειν ἐλάσσονι, ἢ ὑπερέχει ὁ Ψ κῶνος τοῦ ἀμίσεος τοῦ σφαιροειδέος, καὶ τὰ ἄλλα τὰ αὐτὰ τοῖς πρότερον κατασκευάσθω. Ἐπεὶ ἂν ἔλασσόν ἐστι τὸ ἐγγραφὲν σχῆμα τοῦ τμήματος, δῆλον ὅτι καὶ τὸ περιγραφὲν σχῆμα ἔλασσόν ἐστι τοῦ Ψ κώνου. Πάλιν δὴ ὁ πρῶτος κύλινδρος τῶν ἐν τῷ ὅλῳ κυλίνδρῳ, ὁ ἔχων ἄξονα τὸν ΘE, ποτὶ τὸν πρῶτον κύλινδρον τῶν ἐν τῷ περιγεγραμμένῳ σχήματι, τὸν ἔχοντα ἄξονα τὸν ΘE, τὸν αὐτὸν ἔχει λόγον ὃν τὸ πρῶτον τετράγωνον ποτ' αὐτό. Ὁ δὲ δεύτερος κύλινδρος τῶν ἐν τῷ ὅλῳ κυλίνδρῳ ὁ ἔχων ἄξονα τὰν EΠ, ποτὶ τὸν δεύτερον κύλινδρον τὸν ἐν τῷ περιγεγραμμένῳ σχήματι, τὸν ἔχοντα ἄξονα τὰν EΠ, [y] τὸν αὐτὸν ἔχει λόγον, ὃν τὸ δεύτερον τετράγωνον ποτὶ τὸν γνώμονα τὸν ἀπ' αὐτοῦ ἀφαιρημένον. Καὶ τῶν ἄλλων δὲ κυλίνδρων ἕκαστος, τῶν ἐν τῷ ὅλῳ κυλίνδρῳ, ἄξονα ἐχόντων ἴσαν τᾷ ΘE, ποτὶ τὸν κύλινδρον τὸν ἐν τῷ περιγεγραμμένῳ σχήματι κατ' αὐτὸν ἐόντα καὶ ἔχοντα ἄξονα τὸν αὐτὸν, ὃν τοῦτον ἔχει λόγον, ὁμοίως τεταγμένῳ αὐτῷ τετραγώνων ποτὶ τὸν γνώμονα τὸν ἀπ' αὐτοῦ ἀφαιρημένον. Καὶ πάντες ἂν οἱ κύλινδροι, οἱ ἐν τῷ ὅλῳ κυλίνδρῳ, ποτὶ πάντας τοὺς κυλίνδρους, τοὺς ἐν τῷ περιγεγραμμένῳ σχήματι, τὸν αὐτὸν ἕξουσι λόγον, ὃν πάντα τὰ τετράγωνα ποτὶ τὸ ἴσον τῷ πρώτῳ τετραγώνῳ, καὶ τοῖς γνωμόνεσι, τοῖς ἀπὸ τῶν λοιπῶν τετραγώνων ἀφαιρημένοις. Καὶ τὰ τετράγωνα πάντα ἐλάσσονά ἐστι,

[p] αἱ ΞP, ΞΣ, ΞT, ΞΥ, ΞΨ, ΞΩ, τῷ [q] Sic MS. [r] εὐθία [s] τριπλασία [t] ἑλίκων [u] διπλασία [v] ἡμίσειος [x] ἄμισθον [y] τὸν

ἢ ἡμιόλια ἔσῃ ἴσα τῷ τε πρώτῳ τετραγώνῳ, καὶ τοῖς γνωμόσι τοῖς ἀπὸ τῶν λοιπῶν ἀφαιρημένοις· διότι καὶ τῶν τετραγώνων τῶν ἀπὸ τῶν τῷ ἴσῳ ἀλλήλων ὑπερεχόντων, [y]χωρὶς τοῦ ἀπὸ τῆς μεγίστης τετραγώνου, μείζονά ἐστι ἢ τριπλάσια. Ὁ ἄρα κύλινδρος ὁ βάσιν μὲν ἔχων τὴν αὐτὴν τῷ τμήματι, καὶ ἄξονα τὸν αὐτὸν, ἐλάσσων ἢ ἡμιόλιός ἐστι τοῦ περιγεγραμμένου σχήματος. Ὅπερ ἀδύνατον. Τοῦ γὰρ Ψ κώνου ἡμιόλιός ἐστι· τὸ δὲ περιγεγραμμένον σχῆμα ἔλαττον ἐδείχθη τοῦ Ψ κώνου. Οὐκ ἄρα ἐστὶν ἔλασσον, [z]τὸ ἀμίσειον τοῦ σφαιροειδέος τοῦ Ψ κώνου. Ἐπεὶ δὲ μεῖζόν ἐστιν, οὔτε ἔλασσον, ἴσον ἄρα ἐστί.

quam ſeſquialtera ſpatii æqualis tum primo quadrato, tum gnomonibus qui a reliquis quadratis ablati ſunt; quoniam quadratorum, quæ deſcribuntur ab æqualiter ſeſe invicem excedentibus, dempto eo, quod deſcribitur a maxima, majora ſunt, quam tripla. Cylindrus igitur, qui eamdem ac ſegmentum baſim habet, eumdemque axem, minor eſt, quam ſeſquialter figuræ circumſcriptæ. Quod fieri non poteſt. Eſt enim ſeſquialter coni Ψ: circumſcripta vero figura cono Ψ minor eſſe demonſtrata eſt. Non eſt igitur minus dimidium ſphæroidis cono Ψ. Et quoniam neque majus eſt, neque minus, æquale utique eſt.

ΠΡΟΤΑΣΙΣ λ'.

Καὶ τοίνυν αὖ καὶ τὸ σφαιροειδὲς μὴ ὀρθῷ ποτὶ τὸν ἄξονα τῷ ἐπιπέδῳ διὰ τοῦ κέντρου τμαθῇ, ὁμοίως τὸ ἀμίσειον τοῦ σφαιροειδέος διπλάσιον ἔσεται τοῦ ἀποτμάματος τοῦ κώνου, τὴν βάσιν ἔχοντος τὴν αὐτὴν τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτόν.

Τετμάσθω [a]γὰρ σχῆμα σφαιροειδὲς· τμαθέντος δὲ αὐτοῦ ἐπιπέδῳ ἄλλῳ διὰ τοῦ ἄξονος ὀρθῷ ποτὶ τὸ τέμνον ἐπίπεδον, τοῦ μὲν σχήματος τομὰ ἔσω ἀ ΑΒΓΔ ὀξυγωνίου κώνου τομὰ, κέντρον δὲ αὐτᾶς τὸ Θ· τοῦ δὲ τετμακότος ἐπιπέδου τὸ σχῆμα ἔσω ἀ ΑΓ εὐθεῖα. Ἐστεῖται δὴ αὐτὰ διὰ τοῦ Θ ἀγομένα· ἐπεὶ τὸ ἐπίπεδον ὑπέκειτο διὰ τοῦ κέντρου τετάχθαι. Ἐστεῖται ἒν τις ὀξυγωνίου κώνου τομὰ περὶ διάμετρον τὰν ΑΓ· ἐπεὶ τὸ ἐπίπεδον τὸ ἀποτέμνον ὑπέκειτο [b]ὄτως ὀρθὰς εἶμεν τῷ ἄξονι ἀγμένον. [c]Ἀχθω δή τινες αἱ ΚΛ, ΜΝ παρὰ τὰν ΑΓ ἐπιψαύουσαι τᾶς τοῦ ὀξυγωνίου κώνου τομᾶς κατὰ τὰ Β, Δ· ἀπὸ δὲ τᾶν ΚΛ, ΜΝ ἐπίπεδα ἀνεσταλέτω παράλληλα τῷ κατὰ τὰν ΑΓ. Ἐπιψαύοντι δὲ ταῦτα τοῦ σφαιροειδέος κατὰ τὰ Β, Δ, καὶ [d]τὰ Β, Δ ἐπιζευχθεῖσα, πεσεῖται διὰ τοῦ Θ· καὶ ἐστοῦνται τῶν τμαμάτων κορυφαὶ μὲν τὰ Β, Δ σαμεῖα, ἄξονες δὲ αἱ ΒΘ, ΘΔ. Δυνατὸν δέ ἐστιν εὑρεῖν κύλινδρον, ἄξονα ἔχοντα τὰν ΒΘ, ὃ ἐν τᾷ ἐπιφανείᾳ ἐστεῖται ἃ ὃ ὀξυγωνίου κώνου τομὰ, ἃ περὶ διάμετρον τὰν ΑΓ. Εὐρεθέντος δὲ ἐστεῖταί τις κυλίνδρου τόμος τὰν αὐτὰν βάσιν ἔχων τοῦ ἀμίσεος τοῦ σφαιροειδέος, καὶ ἄξονα τὸν αὐτόν. Πάλιν δὴ καὶ κῶνον εὑρεῖν δυνατόν ἐστι, κορυφὰν ἔχοντα τὸ Β σαμεῖον, ὃ ἐν τᾷ ἐπιφανείᾳ ἐστεῖται ἃ τοῦ ὀξυγωνίου κώνου τομὰ, ἃ ἀπὸ διαμέτρου τᾶς ΑΓ. Εὑρεθέντος δὲ ἐστεῖται τὸ ἀπότμαμα κώνου τὰν αὐτὰν βάσιν ἔχον τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτόν. Λέγω δή, ὅτι τοῦ σφαιροειδέος ἀμίσεον διπλάσιόν ἐστι τοῦ κώνου τούτου. Ἔστω δὴ ὁ Ψ κῶνος διπλάσιος τοῦ ἀποτμάματος τοῦ κώνου. Εἰ ἒν μή ἐστιν ἴσον τὸ ἀμίσεον τοῦ σφαιροειδέος τῷ Ψ κώνῳ, ἔστω πρῶτον, εἰ δυνατὸν, μεῖζον. [e]Ἐγγεγράφθω δή τι εἰς τὸ ἀμίσεον τοῦ σφαιροειδέος σχῆμα στερεὸν, καὶ ἄλλο [f]περιγεγράφθω ἐκ κυλίνδρου τόμων, ὕψος ἴσον ἐχόν-


PROP. XXX. THEOR.

Quinetiam ſi ſphæroidea figura ſecetur per centrum plano ad axem non recto; pariter dimidium ſphæroidis duplum erit ſegmenti coni, qui eamdem ac ſegmentum baſim habeat, et axem eumdem.

Secetur enim ſphæroidea figura: eademque ſecta per axem plano alio ad id, quod ſecat, planum recto; ſit figuræ quidem ſectio acutianguli coni ſectio ΑΒΓΔ; cujus centrum punctum Θ; plani vero, quod figuram ſecuit, recta ΑΓ. Hæc utique per Θ tranſibit; quoniam planum poſitum eſt per centrum agi. Atque erit acutianguli coni ſectio quædam circa diametrum ΑΓ deſcripta; quoniam poſitum eſt planum, quod ſecat, rectum ad axem non eſſe. Ducantur rectæ quædam ΚΛ, ΜΝ ipſi ΑΓ parallelæ, quæ acutianguli coni ſectionem in punctis Β, Δ contingant: et ab ipſis ΚΛ, ΜΝ plana excitentur plano, quod per ΑΓ actum eſt, parallela. Hæc utique ſphæroiden in punctis Β, Δ contingent; quæque ipſa Β, Δ jungit recta linea per Θ tranſibit: atque erunt ſegmentorum quidem vertices puncta Β, Δ; axes vero rectæ ΒΘ, ΘΔ. Itaque fieri poteſt, ut cylindrus inveniatur axem habens ΒΘ, in cujus ſuperficie ſit acutianguli coni ſectio circa diametrum ΑΓ deſcripta. Hoc igitur invento erit ſegmentum aliquod cylindri eamdem ac dimidium ſphæroidis baſim habens, eumdemque axem. Rurſus autem fieri poteſt, ut conus inveniatur verticem habens punctum Β, in cujus ſuperficie ſit acutianguli coni ſectio deſcripta circa diametrum ΑΓ. Atque hoc invento erit ſegmentum aliquod coni eamdem ac ſegmentum ſphæroidis baſim habens, et axem eumdem. Dico dimidium ſphæroidis hujus coni eſſe duplum. Sit jam conus Ψ duplus ſegmenti hujuſce coni. Et ſi quidem dimidium ſphæroidis cono Ψ æquale non eſt, ſit primo, ſi fieri poteſt, majus. Itaque dimidio ſphæroidis ſolida figura inſcribatur, itemque alia circumſcribatur ex cylindri ſegmentis æqualem altitudinem habentibus compoſita; ita ut circumſcripta figura ex-

[y] Sic MS. [z] τᾶ ἡμίσιος [a] γὰρ τμᾶμα [b] ὕτως [c] ἄχθωσαν [d] τα [e] ἐνέγραψα [f] περιέγραψα

cedat inſcriptam magnitudine minore, quam qua dimidium ſphæroidis conum Ψ excedit. Demonſtrabitur pariter, ac ſupra, figura dimidio ſphæroidis inſcripta major eſſe cono Ψ: et ſegmentum cylindri, eamdem ac ſphæroidis ſegmentum baſim habens, eumdemque axem, ipſius quidem coni Ψ eſſe ſeſquialterum; figuræ autem dimidio ſphæroidis inſcriptæ majus quam ſeſquialterum. Quod fieri non poteſt. Non eſt igitur majus dimidium ſphæroidis cono Ψ. Sin autem eſt minus, dimidio ſphæroidis ſolida figura inſcribatur, itemque alia circumſcribatur ex cylindri ſegmentis æqualem altitudinem habentibus compoſita; ita ut circumſcripta figura excedat inſcriptam magnitudine minore, quam qua conus Ψ dimidium ſphæroidis excedit. Rurſus pariter, ac ſupra, demonſtrabitur circumſcripta figura minor eſſe cono Ψ: et ſegmentum cylindri, eamdem ac ſphæroidis ſegmentum baſim habens, eumdemque axem ipſius quidem coni Ψ eſſe ſeſquialterum; circumſcriptæ vero figuræ minus, quam ſeſquialterum. Quod fieri non poteſt. Neque igitur minus eſt dimidium ſphæroidis cono Ψ. Et quoniam neque majus eſt, neque minus, æquale utique eſt. Manifeſtum eſt igitur, quod oportebat demonſtrare.



PROP. XXXI. THEOR.

Cujuſlibet ſphæroideæ figuræ, ſectæ non per centrum plano ad axem recto, minus ſegmentum ad conum, qui eamdem ac ſegmentum baſim habeat, eumdemque axem, eam habet rationem, quam recta utrique æqualis, tum dimidiæ axi ſphæroidis, tum axi majoris ſegmenti, ad axem majoris ſegmenti.

Sit enim ſegmentum aliquod ſphæroideæ figuræ ſectum non per centrum plano ad axem recto: eodemque ſecto per axem plano alio; ſit figuræ quidem ſectio acutianguli coni ſectio ΑΒΓ, cujus diameter, eademque axis ſphæroidis, ΒΖ; et centrum Θ; plani vero, quod ſegmentum ſecat ſectio ſit recta ΑΓ. Hæc utique rectos cum ΒΖ angulos efficiet; quoniam poſitum eſt planum eſſe ad axem rectum. Sit autem ſegmentum illud, quod ſectum eſt, cujus vertex eſt

τῶν συγκειμένων· ὡς τε τὸ περιγραφὲν σχῆμα τοῦ ἐγγραφέντος ὑπερέχειν ἐλάσσονι ἢ ἀλίκῳ ὑπερέχει τὸ ἀμίσεον τοῦ σφαιροειδέος τοῦ Ψ κώνου. Ὁμοίως δὴ τοῖς πρότερον δειχθήσεται τὸ ἐγγεγραμμένον σχῆμα ἐν τῷ [g] ἀμισέῳ τοῦ σφαιροειδέος μεῖζον ἐὸν τοῦ [h] Ψ κώνου· καὶ ὁ τόμος τοῦ κυλίνδρου ὁ βάσιν ἔχων τὰν αὐτὰν τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτὸν, τῷ μὲν Ψ κώνῳ ἡμιόλιος ἐών· τοῦ δὲ ἐγγεγραμμένου σχήματος [i] ἐν ἀμισέῳ τοῦ σφαιροειδέος μείζων ἢ ἡμιόλιος. Ὅπερ ἀδύνατον. [k] Οὐκ ἔσται ἄρα μεῖζον τὸ ἀμίσεον τοῦ σφαιροειδέος τοῦ Ψ κώνου. Εἰ δὲ ἔλασσόν ἐστιν, ἐγγεγράφθω εἰς τὸ ἀμίσεον τοῦ σφαιροειδέος σχῆμα στερεὸν, καὶ ἄλλο περιγεγράφθω ἐκ κυλίνδρων τομῶν ὕψος ἴσον ἐχόντων συγκείμενον· ὡς τε τὸ περιγραφὲν τοῦ ἐγγραφέντος ὑπερέχειν ἐλάσσονι, ἢ ἀλίκῳ ὑπερέχει ὁ Ψ κῶνος τοῦ [l] ἀμίσεος τοῦ σφαιροειδέος. Πάλιν ἐν ὁμοίως τοῖς πρότερον δειχθήσεται τὸ περιγεγραμμένον σχῆμα ἔλασσον ἐὸν τοῦ Ψ κώνου· καὶ ὁ τόμος τοῦ κυλίνδρου, ὁ βάσιν ἔχων τὰν αὐτὰν τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτὸν, τῷ μὲν Ψ κώνῳ ἡμιόλιος ἐών· τοῦ δὲ περιγεγραμμένου σχήματος ἐλάσσων ἢ ἀμιόλιος. Ὅπερ ἐστὶν ἀδύνατον. Οὐκ ἐσται ἄρα ἔλασσον [m] τὸ ἥμισυ τοῦ σφαιροειδέος τοῦ Ψ κώνου. Ἐπεὶ δὲ ὅτε μεῖζόν ἐστιν, οὐδὲ ἔλασσον, ἴσον ἐστί. Φανερὸν ἄρα ἐστὶν ὃ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ λα'.


Παντὸς σχήματος σφαιροειδέος ἐπιπέδῳ τμαθέντος μὴ διὰ τοῦ κέντρου, ὀρθῷ ποτὶ τὸν ἄξονα, τὸ ἔλαττον τμῆμα ποτὶ τὸν κῶνον, τὸν βάσιν ἔχοντα τὰν αὐτὰν τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτὸν, τοῦτον ἔχει τὸν λόγον, ὃν συναμφότερα τάτε ἀμίσεα τοῦ ἄξονος τοῦ σφαιροειδέος, καὶ ὁ ἄξων τοῦ μείζονος τμάματος, ποτὶ τὸν ἄξονα τοῦ μείζονος τμάματος.


Ἔστω γάρ τι τμῆμα σφαιροειδέος [n] σχήματος, ἀποτετμαμένον ἐπιπέδῳ ὀρθῷ ποτὶ τὸν ἄξονα, μὴ διὰ τοῦ κέντρου· τμαθέντος δὲ αὐτοῦ ἐπιπέδῳ ἄλλῳ διὰ τοῦ ἄξονος, τοῦ μὲν σχήματος τομὰ ἔστω ἀ ΑΒΓ ὀξυγωνίου κώνου τομά, διάμετρος δὲ τᾶς τομᾶς, καὶ ἄξων σφαιροειδέος ἔστω ἀ ΒΖ, κέντρον δὲ τὸ Θ· τοῦ δὲ ἐπιπέδου τοῦ ἀποτέμνοντος τὸ τμῆμα, τομὰ ἔστω ἀ ΑΓ εὐθεῖα. Ποιήσει δ' αὐτὰ ὀρθὰς γωνίας ποτὶ τὰν ΒΖ· ἐπεὶ τὸ ἐπίπεδον ὀρθὸν εἶμεν ποτὶ τὸν ἄξονα ὑπέκειτο. Ἔστω δὴ τὸ τμῆμα τὸ ἀποτετμᾶ-

[g] ἡμίσει [h] Ψ κώνου ἡμιόλιος ἐών· τοῦ δὲ [i] ἐν ἡμίσει [k] οὐκ ἄρα ἔν τὸ [l] ἡμίσεος [m] τοῦ ἡμίσεος [n] τμήματος

μῆμον, ἧ κορυφὴ τὸ Β σαμεῖον, ἔλασσον ἢ ἡμίσεως τοῦ σφαιροειδέος σχήματος, καὶ τῇ Β Θ ἴσα [o] ἔστω ἡ Ζ Η. Δεικτέον ὅτι τὸ τμῆμα, ἧ κορυφὴ τὸ Β σαμεῖον, ποτὶ τὸν κῶνον τὸν βάσιν ἔχοντα τὰν αὐτὰν τῷ τμήματι, καὶ ἄξονα τὸν αὐτὸν, τοῦτον ἔχει τὸν λόγον, ὃν ἡ Δ Η ποτὶ τὰν Δ Ζ.

Sit cylindrus eamdem ac minus ſegmentum baſim habens, eumdemque axem: et ſit item conus Ψ, qui ad conum eamdem baſim habentem eam habeat rationem, quam Δ Η ad Δ Ζ. Dico conum Ψ ſegmento, cujus vertex eſt punctum Β, æqualem eſſe. Si enim æqualis non eſt, ſit primo, ſi fieri poteſt, minor. Itaque ſegmento ſolida figura inſcribatur, itemque alia circumſcribatur ex cylindris æqualem altitudinem habentibus compoſita; ita ut circumſcripta figura excedat inſcriptam magnitudine minore, quam qua ſegmentum ſphæroidis excedit conum Ψ. Quoniam igitur circumſcripta figura, quæ ſegmento major eſt, inſcriptam minus excedit,





Ἔστω δὴ τρίτον μέρος τᾶς Β Δ ἁ Β Ρ. Ἐπεὶ οὖν ἁ μὲν Β Η τριπλάσιά ἐστιν τᾶς [q] Β Θ, καὶ ἁ Β Δ τᾶς Β Ρ, τριπλάσια ἔσαι καὶ ἁ Δ Η τᾶς Θ Ρ. Ἔχει δὴ ὁ μὲν κύλινδρος ὁ βάσιν ἔχων τὰν αὐτὰν τῷ τμάματι, καὶ ἄξονα τὸν Β Δ, ποτὶ τὸν κῶνον τὸν βάσιν ἔχοντα τὰν αὐτὰν, καὶ ἄξονα τὸν αὐτὸν, τετραπλάσιον τὸν λόγον, ὃν ἔχει ἁ Δ Η ποτὶ τὰν Θ Ρ. Ὁ δὲ κῶνος ὁ εἰρημένος ποτὶ τὸν Ψ κῶνον, τὸν αὐτὸν λόγον ἔχει, ὃν ἁ Δ Ζ ποτὶ τὰν Δ Η. Ἔξει ἄρ ἀνομοίως τῶν λόγων τεταγμένων ὁ κύλινδρος, ὁ βάσιν ἔχων τὰν αὐτὰν τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτὸν, ποτὶ τὸν Ψ κῶνον τὸν αὐτὸν λόγον, ὃν ἁ Δ Ζ ποτὶ τὰν Θ Ρ. [r] Ἔστωσαν δὴ γραμμαὶ κείμεναι, ἐφ' ἃν τὰ Ξ Ν, τῷ μὲν πλήθει ἴσαι τοῖς τμαμάτεσσι τοῖς ἐν τᾷ Β Δ, τῷ δὲ μεγέθει ἑκάστα ἴσα τᾷ Ζ Δ. Ἔστω δὲ καὶ τᾶν Ξ Ο ἑκάστα ἴσα τᾷ Β Δ. Τᾶν δὲ Ν Ο ἑκάστα διπλάσια ἐστέτω τᾶς Θ Δ. Παραπεπλωκέτω δὴ παρ' ἑκάσαν αὐτᾶν χωρίον τι, πλάτος ἔχον ἴσον τᾷ Β Δ, ὥς τε εἶμεν ἕκαστον τῶν ἐχόντων [s] τᾶς διαμέτρω τετράγωνον. Ἀφῃρήθω δὴ ἀπὸ μὲν τᾶς πρώτας γνώμων πλάτος ἔχων ἴσον τᾷ

punctum Β, minus quam dimidium ſphæroideæ figuræ; æqualiſque ſit Ζ Η ipſi Β Θ. Oportet demonſtrare, ſegmentum, cujus vertex eſt punctum Β, ad conum, qui eamdem ac ſegmentum baſim habet, eumdemque axem, eam habere rationem, quam Δ Η ad Δ Ζ.

quam ſegmentum conum; conſtat inſcriptam figuram cono Ψ majorem eſſe. Sit autem Β Ρ tertia pars ipſius Β Δ. Et quoniam tripla eſt cum Β Η ipſius Β Θ, tum Β Δ ipſius Β Ρ; tripla erit etiam Δ Η ipſius Θ Ρ. Itaque cylindrus eamdem ac ſegmentum baſim habens, et axem Β Δ, ad conum eamdem baſim, eumdemque axem habentem, eamdem habet rationem, quam Δ Η ad Θ Ρ. Habet autem conus, quem diximus, ad conum Ψ eamdem rationem, quam Δ Ζ ad Δ Η. Habebit igitur, rationibus diſſimiliter ordinatis, cylindrus eamdem ac ſegmentum baſim habens, eumdemque axem, ad conum Ψ eamdem rationem, quam Δ Ζ ad Θ Ρ. Poſitæ modo ſint lineæ, in quibus Ξ Ν, multitudine quidem æquales ſegmentis, quæ ſunt in recta Β Δ, magnitudine vero æquales unaquæque ipſi Ζ Δ. Ac linearum Ξ Ο æqualis unaquæque ſit ipſi Β Δ. Erit igitur reliquarum Ν Ο unaquæque dupla ipſius Θ Δ. Applicetur unicuique ipſarum ſpatium aliquod latitudinem habens ipſi Β Δ æqualem; ita ut quadratum in unoquoque ſit circa ſuam diametrum deſcrip-

[o] ἴσα τῇ Α Ζ Η
[r] ἴσωσαν ex MS.
[s] τὰς διαμέτρους
[q] In MS. Β Θ, καὶ ἁ Β Δ τᾶς Β Ρ, τριπλάσια ἴσαι καὶ ἁ Δ Η τᾶς Θ Ρ deſunt.

cum. Auferatur autem ab horum primo gnomon latitudinem habens æqualem ipſi BE: itemque a ſecundo gnomon latitudinem habens æqualem ipſi BX: eodemque modo ab unoquoque, quod ſequitur, ſpatio gnomon latitudinem habens ſegmento uno minorem latitudine gnomonis, qui proxime ablatus eſt. Erit utique gnomon, qui a primo ſpatio ablatus eſt, æqualis ſpatio, quod ſub BE, EZ continetur: et reliquum erit ſpatium, quod ipſi NO applicatum eſt, excedens ſpecie quadrata, atque habens latus exceſſus ipſi ΔE æquale. Gnomon vero, qui a ſecundo ſpatio ablatus eſt, æqualis erit ſpatio, quod ſub ZX, XB continetur: et reliquum erit ſpatium, quod ipſi NO applicatum eſt, excedens ſpecie quadrata. Et reliqua eodem modo. His ita ſe habentibus producantur plana cylindrorum omnium, ex quibus inſcripta ſegmento figura componitur, ad ſuperficiem uſque cylindri, qui eamdem ac ſegmentum baſim habet eumdemque axem. Dividetur utique totus cylindrus in cylindros multitudine quidem æquales cylindris, qui in circumſcripta figura ſunt, magnitudine vero æquales unuſquiſque eorum maximo. Jam cylindrus primus eorum, qui in toto cylindro ſunt, axem habens ΔE, ad cylindrum eorum primum, qui ſunt in inſcripta figura, ΔE axem habentem, eamdem habet rationem, quam quadratum, quod a ΔΓ deſcribitur, ad quadratum, quod deſcribitur a KE. Hæc autem eadem eſt atque illa, quam habet ſpatium, quod ſub BΔ, ΔZ continetur, ad ſpatium, quod continetur ſub BE, EZ. Habet igitur cylindrus ad cylindrum eamdem rationem, quam primum ſpatium ad gnomonem, qui ab eodem ablatus eſt. Pariter aliorum etiam cylindrorum, unuſquiſque, qui in toto cylindro ſunt, axem habens ipſi ΔE æqualem, ad cylindrum, qui ſecundum ipſum eſt in inſcripta figura, eumdem axem habentem, eamdem habebit rationem, quam ſpatium ipſi reſpondens ad gnomonem, qui ab eodem ablatus eſt. Itaque quædam ſunt magnitudines, nempe cylindri, qui in toto cylindro ſunt; aliæque item magnitudines, nempe ſpatia, quæ ipſi ΞN applicata ſunt, latitudinemque habent ipſi BΔ æqualem, multitudine cylindris æquales, eamdemque binæ ad binas rationem habentes. Comparantur autem cylindri, cum aliis cylindris, qui ſunt in inſcripta figura; poſtremus autem cum nullo comparatur: et adhuc ſpatia comparantur cum aliis ſpatiis, hoc eſt cum gnomonibus, qui ab iiſdem auferuntur, reſpondentibus ſibi iiſdem rationibus; poſtremum vero cum nullo comparatur. Conſtat igitur etiam omnes cylindros, ad omnes alios cylindros eamdem habere rationem, quam omnia ſpatia ad omnes gnomones. Cylindrus igitur, qui eamdem ac ſegmentum baſim habet, eumdemque axem, ad figuram ſegmento inſcriptam, eamdem habebit rationem, quam omnia ſpatia ad omnes gnomones. Et quoniam quædam lineæ æquales

BE· ἀπὸ δὲ τῆς δευτέρας, πλάτος ἔχων ἴσον τῇ BX. Καὶ ἀφ' ἑκάστης, τὸν αὐτὸν τρόπον, εἷς ἀπὸ τοῦ ἑπομένης χωρὶς γνώμων ἀφαιρήθω, πλάτος ἔχων ἐνὶ τμάματι ἔλασσον τῆς πλάτεος ᾧ πρὸ αὐτῆς γνώμονος ἀφαιρημένης. Ἐσείται δὴ ὁ μὲν ἀπὸ τῆ πρώτης χωρὶς γνώμων ἀφαιρημένος, ἴσος τῷ περιεχομένῳ ὑπὸ τῶν BE, EZ· καὶ τὸ λοιπὸν χωρίον παραπεπλωκὸς παρὰ [e] τὸν NO, ὑπερβάλλον εἴδει τετραγώνῳ, τὸν τῆς ὑπερβλήματος πλευρὰν ἔχων ἴσην τῇ ΔE. Ὁ δὲ ἀπὸ τοῦ δευτέρας χωρὶς γνώμων ἀφαιρημένος, ἴσος τῷ περιεχομένῳ ὑπὸ τῶν ZX, XB· καὶ τὸ λοιπὸν χωρίον παρὰ τὸν NO παραπεπλωκὸς, ὑπερβάλλον εἴδει τετραγώνῳ. Καὶ τὰ λοιπὰ ὁμοίως τούτοις. Ἐξοῦντι δὲ ὧδε ἐκβεβλήθω τὰ ἐπίπεδα πάντων τῶν κυλίνδρων, ἐξ ὧν σύγκειται τό τε ἐγγεγραμμένον σχῆμα ἐν τῷ τμάματι ποτὶ τὸν ἐπιφάνειαν τῆς κυλίνδρου, τῆς βάσιν ἔχοντος τὸν αὐτὸν τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτόν. Ἐσείται δὴ ὁ ὅλος κύλινδρος διηρημένος εἰς κυλίνδρους τῷ μὲν πλήθει ἴσους τοῖς ἐν τῷ περιγεγραμμένῳ σχήματι, τῷ δὲ μεγέθει ἴσους τῷ μεγίστῳ αὐτῶν. Ὁ δὴ πρῶτος ὁ κύλινδρος τῶν ἐν τῷ ὅλῳ κυλίνδρῳ, ὁ ἔχων ἄξονα τὸν ΔE, ποτὶ τὸν πρῶτον κύλινδρον τὸν ἐν τῷ ἐγγεγραμμένῳ σχήματι, τὸν ἔχοντα ἄξονα τὸν ΔE, τὸν αὐτὸν ἔχει λόγον, ὃν τὸ ἐν τὸ πρῶτον χωρίον ποτὶ τὸν γνώμονα τὸν ἀπ' αὐτοῦ ἀφαιρημένον. Ὁμοίως δὲ καὶ τῶν ἄλλων κυλίνδρων, τῶν ἐν τῷ ὅλῳ κυλίνδρῳ, ἕκαστος ἄξονα ἔχων τὸν ἴσον τῇ ΔE, ποτὶ τὸν κατ' αὐτὸν κύλινδρον τὸν ἐν τῷ ἐγγεγραμμένῳ σχήματι, ἄξονα ἔχοντα τὸν αὐτὸν, τοῦτον ἕξει τὸν λόγον, ὃν τὸ ὁμοίως τεταγμένον αὐτῷ χωρίον ποτὶ τὸν γνώμονα τὸν ἀπ' αὐτοῦ ἀφαιρημένον. Ἐντὶ δὲ μεγέθεά τινα οἱ κύλινδροι, οἱ ἐν τῷ ὅλῳ κυλίνδρῳ, καὶ ἄλλα μεγέθεα, χωρία παρὰ τὸν ΞN παραπεπλωκότα, πλάτος ἔχοντα τὸν ἴσον τῇ BΔ, τῷ δὲ πλήθει ἴσα τοῖς κυλίνδροις, καὶ κατὰ δύο τὸν αὐτὸν ἔχοντα λόγον. Λέγονται δὲ οἵ τε κύλινδροι ποτ' ἄλλους κυλίνδρους, τοὺς ἐν τῷ ἐγγεγραμμένῳ σχήματι, ὁ δὲ ἔσχατος [u] ὐδὲ ποθὲν λέγεται· καὶ τὰ χωρία ποτ' ἄλλα χωρία, τοὺς ἀπ' αὐτῶν ἀφαιρεμένους, τὰ ὁμόλογα ἐν τοῖς αὐτοῖς λόγοις· τὸ δὲ ἔσχατον χωρίον ὐδὲ ποθὲν λέγεται. Δῆλον δὲ ὅτι καὶ πάντες οἱ κύλινδροι, ποτὶ πάντας τοὺς ἑτέρους, τὸν αὐτὸν ἔξουντι λόγον, ὃν πάντα τὰ χωρία, ποτὶ πάντας τοὺς γνώμονας. Ὁ ἄρα κύλινδρος, ὁ βάσιν ἔχων τὰν αὐτὰν τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτὸν, ποτὶ τὸ σχῆμα τὸ ἐγγεγραμμένον ἐν τῷ τμάματι, τὸν αὐτὸν ἕξει λόγον, ὃν πάντα τὰ χωρία ποτὶ πάντας τοὺς

[e] τὰν Θ

[u] οὐδὲποθεν

Digitized by Google

γνώμονας. Καὶ ἐπεὶ ἐντὶ τινὲς γραμμαὶ ἴσαι κείμεναι ἐφ' ἃν τὰ ΝΟ, καὶ παρὰ ἑκάσαν παραπεπλωκοτόν τι χωρίον ὑπερβάλλον εἴδει τετραγώνῳ, αἱ δὲ πλάγιαι τῶν ὑπερβλημάτων ἴσῳ ἀλλάλαν ὑπερέχοντι, καὶ ἁ ὑπεροχὰ ἴσα ἐσὶ τᾷ ἐλαχίσᾳ· καὶ ἄλλα ἐντὶ χωρία παρὰ τὰν ΞΟ παραπεπλωκότα, πλάτος δὲ ἔχοντα ἴσον τᾷ ΒΔ, τῷ μὲν πλήθει ἴσα τούτοις, τῷ δὲ μεγέθει ἕκαστον ἴσον τῷ μεγίστῳ· δῆλον ὡς σύμπαντα τὰ χωρία, ὧν ἐσιν ἕκαστον ἴσον τῷ μεγίστῳ, ποτὶ πάντα τὰ ἕτερα χωρία ἐλάσσω λόγον ἔχοντι, τὸ ὃν ἔχει ἁ ΞΝ ποτὶ τὰν ἴσαν συναμφοτέραις, τᾷ τε ἡμισέᾳ τᾶς ΝΟ, καὶ τῷ τρίτῳ μέρει τᾶς ΞΟ. Φανερὸν δ' ἔν ὅτι τὰ αὐτὰ χωρία ποτὶ πάντας τὰς γνώμονας μείζονα λόγον ἐξοῦντι τοῦ ὃν ἔχει ἁ ΞΝ ποτὶ τὰν ἴσαν συναμφοτέραις, [w] τᾷ τε ἡμισέᾳ τᾶς ΝΟ, καὶ δυοῖς τριταμορίοις [x] τᾶς ΞΟ. Ὁ ἄρα κύλινδρος ὁ βάσιν ἔχων τὰν αὐτὰν τῷ τμάματι, [y] καὶ ἄξονα τὸν αὐτὸν, ποτὶ τὸ σχῆμα τὸ ἐγγεγραμμένον ἐν τῷ τμάματι, μείζονα λόγον ἔχει ἢ ἁ ΞΝ ποτὶ τὰν ἴσαν συναμφοτέραις, [z] τᾷ τε ἡμισέᾳ τᾶς ΝΟ, καὶ δυοῖς τριταμορίοις τᾶς ΞΟ. Ἔσι δὲ τᾷ μὲν ΞΝ ἴσα ἁ ΔΖ· [a] τᾷ δὲ ἡμισέᾳ τᾶς ΝΟ, ἁ ΔΘ· [b] τῷ δὲ τρίτᾳ δύο μόρια τᾶς ΞΟ, ἁ ΔΡ. Ὅλος ἄρα ὁ κύλινδρος ποτὶ τὸ σχῆμα τὸ ἐγγεγραμμένον ἐν τῷ τμάματι, μείζονα λόγον ἔχει ἢ ὃν ἔχει ἁ ΔΖ ποτὶ τὰν ΘΡ. Ὃν δὲ λόγον ἔχει ἁ ΔΖ ποτὶ τὰν ΘΡ, τοῦτον ἐδείχθη ἔχων ὁ αὐτὸς κύλινδρος ποτὶ τ' Ψ κῶνον. Μείζονα ἄρ' ἔχει λόγον ὁ αὐτὸς κύλινδρος ποτὶ τὸ ἐγγεγραμμένον σχῆμα, ἢ ποτὶ τ' Ψ κῶνον. Ὅπερ ἀδύνατον. Ἐδείχθη γὰρ μεῖζον ἐὸν τὸ ἐγγεγραμμένον σχῆμα τοῦ Ψ κώνου. Οὐκ ἄρα ἐσὶ μεῖζον τὸ τοῦ σφαιροειδέος τμᾶμα τοῦ Ψ κώνου. Ἀλλ' ἔσω, εἰ δυνατὸν, ἔλασσον. Πάλιν δὴ ἐγγεγράφθω τὶ εἰς τὸ τμᾶμα σχῆμα στερεὸν, καὶ ἄλλο περιγεγράφθω ἐκ κυλίνδρων ὕψος ἴσον ἐχόντων συγκείμενον· ὡς τε τὸ περιγεγραμμένον σχῆμα τοῦ ἐγγραφέντος ὑπερέχειν ἐλάσσονι, ἢ ἀλίκῳ μεῖζόν ἐσιν ὁ Ψ κῶνος τοῦ τμάματος· καὶ τὰ ἄλλα τὰ αὐτὰ τοῖς πρότερον κατασκευάσθω. Ἐπεὶ οὖν ἔλασσόν ἐσι τὸ ἐγγεγραμμένον σχῆμα τοῦ τμάματος, καὶ ἐλάσσονι ὑπερέχει τὸ περιγραφὲν δ' ἐγγραφέντος, ἢ ὁ Ψ κῶνος τοῦ τμάματος· δῆλον ὅτι καὶ τὸ περιγραφὲν σχῆμα ἔλασσόν ἐσι τοῦ Ψ κώνου. Πάλιν δὴ ὁ πρῶτος κύλινδρος τῶν ἐν τῷ ὅλῳ κυλίνδρῳ ὁ ἔχων ἄξονα τὰν ΔΕ, ποτὶ τὸν πρῶτον κύλινδρον, τὸν ἐν τῷ περιγεγραμμένῳ σχήματι τὸν ἔχοντα ἄξονα τὸν αὐτὸν, τοῦτον ἔχει λόγον, ὃν τὸ ἔλαττον χωρίον τῶν παρὰ τὰν ΞΝ παραπεπλωκότων, πλάτος ἐχόντων ἴσον τᾷ ΒΔ, ποτ' αὐτό. Ἑκάτερα γὰρ ἴσα ἐσίν. Ὁ δὲ δεύτερος κύλινδρος τ' ἐν τῷ ὅλῳ κυλίνδρῳ, ἄξονα ἔχων ἴσαν τᾷ ΔΕ, ποτὶ τὸν κύλινδρον τὸν κατ' αὐτὸν ἐόντα τὸν ἐν τῷ περιγεγραμμένῳ σχήματι, τὸν αὐτὸν ἔχει λόγον, ὃν τὸ πρῶτον χωρίον τῶν παρὰ τὰν ΞΝ [c] πεπλωκότων

positæ sunt, in quibus NO, quarum unicuique spatium applicatum est excedens specie quadrata; latera autem excessuum æqualiter sese invicem excedunt; et excessus æqualis est illarum minimæ: præterea alia sunt spatia, quæ ipsi ΞO applicata sunt, latitudinemque habent ipsi BΔ æqualem, multitudine quidem illis æqualia, magnitudine vero æqualia unumquodque illorum maximo; constat omnia spatia, quorum unumquodque maximo æquale est, ad omnia alia spatia minorem rationem habere, quam ΞN ad rectam utrique æqualem, tum dimidiæ ipsius NO, tum tertiæ parti ipsius ΞO. Constat igitur eadem spatia ad omnes gnomones majorem rationem habere, quam ΞN ad rectam utrique æqualem, tum dimidiæ ipsius NO, tum duabus tertiis partibus ipsius ΞO. Cylindrus igitur, qui eamdem ac segmentum basim habet, eumdemque axem, ad figuram segmento inscriptam, majorem rationem habet, quam ΞN ad rectam utrique æqualem, tum dimidiæ ipsius NO, tum duabus tertiis partibus ipsius ΞO. Æqualis est autem ΔZ quidem ipsi ΞN; ΔΘ vero dimidiæ ipsius NO; denique ΔP duabus tertiis partibus ipsius ΞO. Igitur totus cylindrus ad figuram segmento inscriptam, majorem rationem habet, quam ΔZ ad ΘP. Quam autem rationem habet ΔZ ad ΘP, hanc habere demonstratus est idem cylindrus ad conum Ψ. Majorem igitur habebit rationem cylindrus ad inscriptam figuram, quam ad conum Ψ. Quod fieri non potest. Demonstrata enim est inscripta figura major esse cono Ψ. Non est igitur majus sphæroidis segmentum cono Ψ. At vero sit, si fieri potest, minus. Itaque rursus segmento solida figura inscribatur, itemque alia circumscribatur ex cylindris æqualem altitudinem habentibus composita; ita ut circumscripta figura excedat inscriptam magnitudine minore, quam qua conus Ψ segmentum excedit: eademque alia, quæ supra, construantur. Quoniam igitur inscripta figura minor est segmento, et circumscripta inscriptam minus excedit, quam conus Ψ segmentum; constat circumscriptam figuram cono Ψ minorem esse. Rursus cylindrus primus eorum, qui in toto cylindro sunt, axem habens ΔE, ad cylindrum eorum primum, qui sunt in circumscripta figura, eumdem axem habentem, eam habet rationem, quam postremum spatium eorum, quæ ipsi ΞN applicata sunt, latitudinemque habent ipsi BΔ æqualem, ad semetipsum. Utraque enim æqualia sunt. Secundus autem cylindrus eorum, qui in toto cylindro sunt, axem habens ipsi ΔE æqualem, ad cylindrum, qui secundum ipsum est in circumscripta figura, eamdem habet rationem, quam primum spatium eorum, quæ ipsi ΞN applicata sunt, latitu-

[w] τὰ τε ἡμίσια [x] τᾶ ΞΟ [y] In MS. καὶ ἄξονα τὸν αὐτὸν ποτὶ τὸ σχῆμα τὸ ἐγγεγραμμένον ἐν τῷ τμάματι desunt.
[z] τάτι ἡμίσια [a] τὰ δὲ ἡμίσια [b] τὰ [c] περιπεπτωκότων

dinemque habent ipſi B Δ æqualem, ad gnomonem, qui ab ipſo ablatus eſt. Aliorum item cylindrorum unuſquiſque, qui in toto cylindro ſunt, axem habentium ipſi Δ E æqualem, ad cylindrum, qui ſecundum ipſum eſt in circumſcripta figura, eamdem habet rationem, quam ſpatium ipſi reſpondens eorum, quæ ipſi Ξ N applicata ſunt, ad gnomonem, qui ab ipſo ablatus eſt ante illud, quod poſtremum dicitur. Igitur eadem ratione, qua ſupra, omnes cylindri, qui in toto cylindro ſunt, ad omnes cylindros, qui ſunt in circumſcripta figura, eamdem habebunt rationem, quam omnia ſpatia, quæ ipſi Ξ N applicata ſunt, ad ſpatium æquale tum poſtremo ſpatio, tum gnomonibus, qui ab aliis ablati ſunt. Et quoniam demonſtratum eſt omnia ſpatia, quæ ipſi Ξ N applicata ſunt, ad omnia ſpatia, quæ applicata ſunt ipſi N O, excedentia ſpecie quadrata, dempto maximo, majorem habere rationem, quam Ξ N ad rectam utrique æqualem, tum dimidiæ ipſius N O, tum tertiæ parti ipſius Ξ O; conſtat ſpatia eadem ad reliqua, quæ æqualia ſunt tum poſtremo ſpatio, tum gnomonibus, qui a reliquis ablati ſunt, minorem rationem habere, quam Ξ N ad rectam utrique æqualem, tum dimidiæ ipſius N O, tum duabus tertiis partibus ipſius Ξ O. Conſtat igitur etiam cylindrum, qui eamdem ac ſegmentum baſim habet, eumdemque axem, ad circumſcriptam figuram minorem rationem habere, quam Z Δ ad Θ P. Quam autem rationem habet Δ Z ad Θ P, hanc habet cylindrus, quem diximus, ad conum Ψ. Minorem igitur rationem habet idem cylindrus ad circumſcriptam figuram, quam ad conum Ψ. Quod fieri non poteſt. Demonſtrata enim eſt circumſcripta figura minor eſſe cono Ψ. Non eſt igitur minus ſphæroidis ſegmentum cono Ψ. Et quoniam neque majus eſt, neque minus, æquale utique eſt.

τῶν, πλάτος ἐχόντων ἴσον τᾷ Β Δ, ποτὶ τὸν γνώμονα τὸν ἀφαιρημένον ἀπ' αὐτοῦ. Καὶ τῶν ἄλλων δὲ κυλίνδρων ἕκαστος, τῶν ἐν τῷ ὅλῳ κυλίνδρῳ, ἄξονα ἐχόντων ἴσαν τᾷ Δ Ε, ποτὶ τὸν κατ' αὐτὸν κύλινδρον τῶν ἐν τῷ περιγεγραμμένῳ σχήματι, τὸν αὐτὸν λόγον, ὃν τὸ ὁμόλογον χωρίον αὐτῷ τῶν παρὰ τὰν Ξ Ν [d] παραπεπλωκότων, ποτὶ τὸν γνώμονα τὸν ἀπ' αὐτοῦ ἀφαιρημένον [e] πρὸ τοῦ λεγομένου τοῦ ἐσχάτου. Καὶ πάντες οὖν οἱ κύλινδροι οἱ ἐν τῷ ὅλῳ κυλίνδρῳ, ποτὶ πάντας τοὺς κυλίνδρους τοὺς ἐν τῷ περιγεγραμμένῳ σχήματι, τὸν αὐτὸν ἐξοῦντι λόγον, ὃν πάντα τὰ χωρία τὰ παρὰ τὰν Ξ Ν παραπεπλωκότα, ποτὶ τὸ ἴσον τῷ τε ἐσχάτῳ κειμένῳ χωρίῳ, καὶ τοῖς γνωμόνεσι τοῖς ἀφαιρημένοις ἀπὸ τῶν ἄλλων, ἁλικὰ τὰ αὐτὰ τοῖς πρότερον. Ἐπεὶ ὦν δέδεικται, ὅτι πάντα τὰ χωρία, τὰ παρὰ τὰν Ξ Ν παραπεπτωκότα, ποτὶ τὰ χωρία πάντα τὰ παρὰ τὰν Ν Ο παραπεπλωκότα ὑπερβάλλοντα εἴδει τετραγώνῳ, χωρὶς τοῦ μεγίστου, μείζονα λόγον ἔχοντι τοῦ ὃν ἔχει ἁ Ξ Ν ποτὶ τὰν ἴσαν συναμφοτέραις τᾷ τε ἡμισείᾳ τᾶς Ν Ο, καὶ τῷ τρίτῳ μέρει τᾶς Ξ Ο· δῆλον ὅτι τὰ αὐτὰ χωρία ποτὶ τὰ λοιπά, ἃ ἐντὶ ἴσα τῷ ἐσχάτῳ χωρίῳ κειμένῳ, καὶ τοῖς γνωμόνεσι, τοῖς ἀπὸ τῶν λοιπῶν ἀφαιρημένοις, ἐλάσσονα λόγον ἔχοντι τοῦ ὃν ἔχει ἁ Ξ Ν ποτὶ τὰν ἴσαν συναμφοτέραις, τᾷ τε ἡμισείᾳ τᾶς Ν Ο, καὶ δυσὶ τριταμορίοις τᾶς Ξ Ο. Δῆλον ἄρα, ὅτι καὶ ὁ κύλινδρος ὁ βάσιν ἔχων τὰν αὐτὰν τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτὸν, ποτὶ τὸ σχῆμα τὸ περιγεγραμμένον, ἐλάσσονα λόγον ἔχει ἤπερ ὃν ἔχει ἁ Ζ Δ ποτὶ τὰν Θ Ρ. Ὃν δὲ λόγον ἔχει ἁ Δ Ζ ποτὶ τὰν Θ Ρ, τοῦτον ἔχει ὁ εἰρημένος κύλινδρος ποτὶ τὸν Ψ κῶνον. Ἐλάσσονα ἄρα λόγον ἔχει ὁ αὐτὸς κύλινδρος ποτὶ τὸ περιγεγραμμένον σχῆμα, ἢ ποτὶ τὸν Ψ κῶνον. Ὅπερ ἀδύνατον. Ἐδείχθη γὰρ ἔλασσον ἐὸν τὸ περιγεγραμμένον σχῆμα τοῦ Ψ κώνου. Οὐκ ἄρα ἐστὶν ἔλασσον τὸ τοῦ σφαιροειδέος τμᾶμα τοῦ Ψ κώνου. Ἐπεὶ δὲ οὔτε μεῖζον, οὔτε ἔλασσον, ἴσον ἄρα ἐστίν.

PROP. XXXII. Theor.

Quinetiam ſi ſphæroidea figura ſecetur non per centrum plano ad axem non recto, minus ejuſdem ſegmentum ad ſegmentum coni, qui eamdem ac ſegmentum baſim habeat, eumdemque axem, eam habebit rationem, quam recta utrique æqualis, tum dimidiæ ejus, quæ ſegmentorum, quæ oriuntur, vertices jungit, tum axi majoris ſegmenti, ad axem majoris ſegmenti.

Secetur enim ſphæroidea aliqua figura, ut dictum eſt: eademque ſecta per axem plano alio ad id, quod ſecat, planum recto; ſit figuræ quidem ſectio acutianguli coni ſectio A Β Γ Δ; plani vero, quod figuram ſecat, recta Γ Α. Ducantur autem ipſi Α Γ parallelæ Π Ρ, Σ Τ, quæ


ΠΡΟΤΑΣΙΣ λβ'.

Καὶ τοίνυν ἅλικα μὴ ὀρθῷ ποτὶ τὸν ἄξονα τμαθῇ τὸ σφαιροειδές, μὴ δὲ διὰ τοῦ κέντρου, τὸ ἔλασσον αὐτοῦ τμᾶμα ποτὶ τὸ ἀπότμαμα τοῦ κώνου τοῦ βάσιν ἔχοντος τὰν αὐτὰν τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτὸν, τοῦτον ἔξει τὸν λόγον, ὃν αἱ συναμφότεραι, ἴσαι [f] τᾷ τε ἡμισείᾳ τᾶς ὑπιζευγνυούσας τὰς κορυφὰς τῶν γενομμένων τμαμάτων, καὶ τῷ ἄξονι τοῦ μείζονος τμάματος, ποτὶ τὸν ἄξονα τοῦ μείζονος τμάματος.

Τετμάσθω γάρ τι σχῆμα σφαιροειδὲς, ὡς εἴρηται καὶ τμαθέντος αὐτοῦ ἄλλῳ ὑπιπέδῳ ἁλᾷ ὃ ἄξονος ὀρθῷ ποτὶ τὸ τέμνον ἐπίπεδον, τὸ μὲν σχήματος τομὰ ἔστω ἁ Α Β Γ Δ ὀξυγωνίου κώνου τομά· ὃ δὲ τέμνοντος ἐπιπέδου τὸ σχῆμα, ἁ Γ Α εὐθεῖα. Καὶ παρὰ τὰν Α Γ [g] ἄχθω αἱ Π Ρ, Σ Τ ἐπιψαύουσαι τᾶς τοῦ

[d] πεπτωκότων [e] πρὸ τοῦ λέγομεν τοῦ ἐσχάτου, καὶ παντὸς [f] τάτε [g] ἄχθωσαν

κώνυ τομᾶς κατὰ τὰ Β, Ζ· καὶ ἀνεσακέτω ἀπ' αὐτᾶν ἐπίπεδον παράλληλον τῷ κατὰ τὰν ΑΓ. Ἐπιψαυσοῦντι δὲ ταῦτα τοῦ σφαιροειδέος [h] κατὰ τὰ Β, Ζ· καὶ ἐσοῦνται κορυφαὶ τῶν τμαμάτων ἐπιζευχθεῖσαι, καὶ ἔσω ἀ ΒΖ. Πεσεῖται δὲ αὐτὰ διὰ τοῦ κέντρυ. Καὶ ἔστω κέντρον τᾶ σφαιροειδέος, καὶ τᾶς τᾶ ὀξυγωνίυ κώνυ τομᾶς, τὸ Θ. Ἐπεὶ ἦν ὑπέκειτο μὴ ὀρθῷ ποτὶ τὸν ἄξονα τετμᾶσθαι τῷ ἐπιπέδῳ τὸ σχῆμα, ἀ τομά ἐστιν ὀξυγωνίυ κώνυ τομά, καὶ διάμετρος αὐτᾶς ἀ ΓΑ. Λελάφθω ἦν ὅτε κύλινδρος ἄξονα ἔχων ἐπ' εὐθείας τᾷ ΒΔ, ἃ ἐν τᾷ ἐπιφανείᾳ ἐστεῖται ἀ τᾶ ὀξυγωνίυ κώνυ τομά, ἀ περὶ διάμετρον τὰν ΑΓ· καὶ ὁ κῶνος ὁ κορυφὰν ἔχων τὸ Β σαμεῖον, ἃ ἐν τᾷ ἐπιφανείᾳ ἐστεῖται ἀ τᾶ ὀξυγωνίυ κώνυ τομά, ἀ περὶ διάμετρον τὰν ΑΓ. Ἐστεῖται δὴ τόμος τις κυλίνδρυ τὰν αὐτὰν βάσιν ἔχων τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτόν· [i] καὶ ἀπότμαμα κώνυ τὰν αὐτὰν βάσιν ἔχον τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτόν. Δεικτέον ὅτι τὸ τμᾶμα τᾶ σφαιροειδέος, ἃ κορυφὰ τὸ Β, ποτὶ τὸ ἀπότμαμα τᾶ κώνυ, τοῦ βάσιν ἔχοντος τὰν αὐτὰν τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτόν, τοῦτον ἔξει τὸν λόγον, ὃν ἀ ΔΗ ποτὶ τὰν ΔΖ. Ἴσα δὲ ἔστω ἀ ΖΗ τᾷ ΘΖ.



Λελάφθω δή τις κῶνος ἐν ᾧ τὸ Ψ, ποτὶ τὸ ἀπότμαμα ἃ κώνυ ἃ βάσιν ἔχοντος τὰν αὐτὰν τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτόν, τοῦτον ἔχων τὸν λόγον, ὃν ἔχει ἀ ΔΗ ποτὶ τὰν ΔΖ. Εἰ ἦν μή ἐστιν ἴσον τὸ τμᾶμα τᾶ σφαιροειδέος τῷ Ψ κώνῳ, ἔστω πρῶτον, εἰ δυνατὸν, μεῖζον. Ἐνέγραψα δὴ εἰς τὸ τμᾶμα τοῦ σφαιροειδέος σχῆμα στερεὸν, καὶ ἄλλο περιέγραψα ἐκ κυλίνδρων τόμων ὕψος ἴσον ἐχόντων συγκείμμον· ὡς τε τὸ περιγραφὲν σχῆμα τᾶ ἐγγραφέντος ὑπερέχειν ἐλάσσονι, ἢ ἀλίκῳ ὑπερέχει τὸ τμᾶμα ἃ σφαιροειδέος τᾶ Ψ κώνυ. Ὁμοίως δὴ τῷ πρότερῳ δειχθήσεται τὸ ἐγγεγραμμὸν σχῆμα μεῖζον ἐὸν τοῦ Ψ κώνυ, καὶ ὁ τόμος τᾶ κυλίνδρυ ὁ βάσιν ἔχων τὰν αὐτὰν τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτόν, ποτὶ τὸ ἐγγεγραμμὸν σχῆμα μείζονα λόγον ἔχων ἢ ποτὶ τὸ Ψ κῶνον. Ὅ ἐστιν ἀδύνατον. Οὐκ ἐσεῖται ἦν τὸ τοῦ σφαιροειδέος τμᾶμα τοῦ Ψ κώνυ μεῖζον. Ἀλλ' ἔστω, εἰ δυνατὸν, ἔλασσον. Ἐγγεγραμμὸν δὴ πάλιν ἔστω εἰς τὸ τμᾶμα σχῆμα στερεὸν, καὶ ἄλλο περιγεγραμμένον ἐκ κυλίνδρυ τόμων ὕψος ἴσον ἐχόντων συγκείμμα· ὡς τε τὸ περιγραφὲν σχῆμα ἃ ἐγγραφέντος

coni ſectionem in punctis ΒΖ, contingant: excitenturque ab iiſdem plano acto per ΑΓ plano parallela. Hæc utique contingent ſphæroiden in punctis Β, Ζ: eorumque vertices jungentur recta ΒΖ; quæ quidem per centrum tranſibit. Sit autem centrum ſphæroidis, idemque acutianguli coni ſectionis, punctum Θ. Quoniam igitur ſphærois poſita eſt ſecta eſſe plano ad axem non recto, ſectio eſt acutianguli coni ſectio, cujus diameter ΑΓ. Itaque ſumatur cylindrus axem habens, quæ ipſi ΒΔ in directo jaceat, in cujus ſuperficie ſit acutianguli coni ſectio circa diametrum ΑΓ deſcripta: itemque conus verticem habens punctum Β, in cujus ſuperficie ſit acutianguli coni ſectio deſcripta circa diametrum ΑΓ. Atque erit ſegmentum aliquod cylindri eamdem ac ſphæroidis ſegmentum baſim habens, eumdemque axem: itemque ſegmentum coni eamdem ac ſphæroidis ſegmentum baſim habens, et axem eumdem. Oportet demonſtrare ſphæroidis ſegmentum, cujus vertex eſt punctum Β, ad ſegmentum coni, eamdem ac ſegmentum baſim habens, eumdemque axem, eam habere rationem, quam ΔΗ ad ΔΖ. Sit autem ΖΗ æqualis ipſi ΘΖ.

Sumatur conus aliquis Ψ, qui ad ſegmentum coni eamdem ac ſphæroidis ſegmentum baſim habentis, eumdemque axem, eam habeat rationem, quam ΔΗ ad ΔΖ. Et ſi æquale non eſt ſegmentum ſphæroidis cono Ψ, ſit primo, ſi fieri poteſt, majus. Itaque ſegmento ſphæroidis ſolida figura inſcribatur, itemque alia circumſcribatur ex cylindri ſegmentis æqualem altitudinem habentibus compoſita; ita ut circumſcripta figura excedat inſcriptam magnitudine minore, quam qua ſegmentum ſphæroidis excedit conum Ψ. Pariter ac ſupra demonſtrabitur inſcripta figura major eſſe cono Ψ; et ſegmentum cylindri, quod eamdem ac ſphæroidis ſegmentum baſim habet, eumdemque axem, ad inſcriptam figuram majorem rationem habere, quam ad conum Ψ. Quod fieri non poteſt. Non erit igitur majus ſphæroidis ſegmentum cono Ψ. At vero ſit, ſi fieri poteſt, minus. Rurſus ſphæroidis ſegmento ſolida figura inſcribatur, itemque alia circumſcribatur ex cylindri ſegmentis æqualem altitudinem habentibus compoſita; ita ut circumſcripta figura excedat inſcriptam mag-

[h] κατὰ τὸ Β Ζ

[i] In MS. ἀποτμάμα κώνυ τὰν αὐτὰν βάσιν ἔχον τῷ τμάματι καὶ ἄξονα τὸν αὐτὸν in MS. deſunt.

Digitized by Google

nitudine minore, quam qua conus Ψ ſphæroidis ſegmentum excedit. Rurſus autem eadem ratione, ac ſupra, demonſtrabitur circumſcripta figura minor eſſe cono Ψ: et ſegmentum cylindri, quod eamdem ac ſphæroidis ſegmentum baſim habet, eumdemque axem, ad circumſcriptam figuram minorem rationem habere, quam ad conum Ψ. Quod fieri non poteſt. Neque igitur minus erit ſphæroidis ſegmentum cono Ψ. Manifeſtum eſt igitur, quod oportebat demonſtrare.


ὑπερέχειν ἐλάσσονι, ἢ ἀλίκῳ ὑπερέχει ὁ Ψ κῶνος τῆ τμάματος. Πάλιν δὲ διὰ τῶν αὐτῶν δειχθήσεται τὸ [k] περιγεγραμμένον ἔλασσον τῆ Ψ κώνῳ· καὶ ὁ τόμος τοῦ κυλίνδρου, ὁ βάσιν ἔχων τὰν αὐτὰν τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτὸν, ποτὶ τὸ περιγεγραμμένον σχῆμα ἐλάσσονα [l] λόγον ἔχων, ἢ ποτὶ τὸν Ψ κῶνον. [m]Ο ἐστιν ἀδύνατον. Οὐκ ἐστὶ ταῖ οὖν οὐδὲ ἔλασσον τὸ τμᾶμα τοῦ κώνου. Φανερὸν οὖν ὃ ἔδει δεῖξαι.

PROP. XXXIII. THEOR.

Cujuſlibet ſphæroideæ figuræ ſectæ, non per centrum, plano ad axem recto, majus ſegmentum ad conum qui eamdem ac ſegmentum baſim habeat, eumdemque axem, eam habet rationem, quam recta utrique æqualis, tum dimidiæ axis ſphæroidis, tum axi minoris ſegmenti, ad axem minoris ſegmenti.

Secetur ſphæroidea aliqua figura, ut dictum eſt: eademque ſecta per axem plano alio ad id, quod ſecat, planum recto; ſit figuræ quidem ſectio acutianguli coni ſectio A B Γ, cujus diameter, eademque axis figuræ, B Δ; plani vero, quod ſecat, recta Γ A. Hæc utique ipſi B Δ ad rectos angulos erit. Sit autem ſegmentorum majus, cujus vertex eſt punctum B: et centrum ſphæroidis punctum Θ: apponaturque Δ H æqualis ipſi Δ Θ; itemque B Z eidem æqualis. Oportet demonſtrare, ſegmentum ſphæroidis, cujus vertex eſt punctum B, ad conum, qui eamdem ac ſegmentum baſim habet, eumdemque axem, eam habere rationem, quam E H ad E Δ.

Itaque ſecetur ſphærois per centrum plano ad axem recto; et ab eo, qui oritur, circulo conus excitetur, verticem habens punctum Δ. Eſt igitur tota ſphærois dupla ſegmenti, quod baſim habet circulum, qui circa diametrum K Λ deſcribitur, et verticem punctum Δ. Segmentum autem, quod diximus, duplum eſt coni, qui eamdem ac ſegmentum baſim habet, eumdemque axem. Hæc enim demonſtrata ſunt. Tota igitur ſphærois ejus, quem diximus, coni eſt quadrupla. At vero hic conus ad conum, qui baſim habet circulum, qui circa diametrum A Γ deſcribitur, et verticem punctum Δ, rationem habet, quæ componitur tum ex ea, quam habet



ΠΡΟΤΑΣΙΣ λγ'.

Παντὸς σχήματος σφαιροειδέος ἐπιπέδῳ τμαθέντος ὀρθῷ ποτὶ τὸν ἄξονα, μὴ διὰ τοῦ κέντρου, τὸ μεῖζον τμᾶμα ποτὶ τὸν κῶνον τὸν βάσιν ἔχοντα τὰν αὐτὰν τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτὸν, τῆτον ἔχει τὸν λόγον, ὃν ἃ ἴσα συναμφοτέραις [n] τᾷ τε ἡμισείᾳ τᾶ ἄξονος τᾶ σφαιροειδέος, καὶ τῷ τᾶ ἐλάσσονος τμάματος ἄξονι, ποτὶ τὸν τᾶ ἐλάσσονος τμάματος ἄξονα.

Τετμάσθω τὶ σφαιροειδὲς, ὡς εἴρηται· τμαθέντος δὲ αὐτοῦ ἐπιπέδῳ ἄλλῳ διὰ τᾶ ἄξονος ὀρθῷ ποτὶ τὸ τέμνον ἐπίπεδον, τᾶ μὲν σχήματος τομὰ ἔστω ἃ A B Γ ὀξυγωνίου κώνου τομὰ, διάμετρος δὲ αὐτᾶς, καὶ ἄξων τοῦ σχήματος, ἃ B Δ· τοῦ δὲ τέμνοντος ἐπιπέδου ἃ Γ A εὐθεῖα. Ἐστῶ δὴ αὐτὰ ποτ' ὀρθὰς τᾷ B Δ. Ἔστω δὲ μεῖζον τῶν τμαμάτων, ἃ κορυφὰ τὸ B· καὶ κέντρον τᾶ σφαιροειδέος τὸ Θ. Ποτικείσθω δὴ ἃ Δ H τᾷ Δ Θ ἴσα, [o]καὶ ἃ B Z τᾷ αὐτᾷ ἴσα. Δεικτέον ὅτι τὸ τμᾶμα τᾶ σφαιροειδέος, ἃ κορυφὰ τὸ B, ποτὶ τὸν κῶνον, τὸν βάσιν ἔχοντα τὰν αὐτὰν τῷ τμάματι, καὶ ἄξονα τὸν αὐτὸν, τῆτον ἔχει τὸν λόγον, [p]ὃν ἃ E H ποτὶ τὰν E Δ.

Τετμάσθω δὴ τὸ σφαιροειδὲς ἐπιπέδῳ διὰ τᾶ κέντρου ὀρθῷ ποτὶ τὸν ἄξονα, καὶ ἀπὸ γενομένου κύκλου κῶνος ἔστω, κορυφὰν ἔχων τὸ Δ σαμεῖον. Ἔστι δὴ τὸ μὲν ὅλον σφαιροειδὲς διπλάσιον τοῦ τμάματος, τοῦ βάσιν ἔχοντος τὸν κύκλον τὸν περὶ διάμετρον τὰν K Λ, κορυφὰν δὲ τὸ Δ σαμεῖον. Τὸ δὲ εἰρημένον τμᾶμα διπλάσιον τᾶ κώνου τᾶ βάσιν ἔχοντος τὰν αὐτὰν τῷ τμάματι, καὶ ἄξονα [q] τὸν αὐτόν. Δέδεικται δὲ καὶ ταῦτα. Τὸ ὅλον ἄρα σφαιροειδὲς τετραπλάσιόν ἐστι τοῦ κώνου τοῦ εἰρημένου. Ὁ δὴ κῶνος οὗτος ποτὶ τὸν κῶνον τὸν βάσιν ἔχοντα τὸν κύκλον τὸν περὶ διάμετρον τὰν A Γ, [r]κορυφὰν δὲ τὸ Δ σαμεῖον, τὸν συγκείμενον ἔχει λόγον ἔκτε τᾶ ὃν ἔχει

[k] περιγεγραμμένου σχῆμα [l] Sic MS. [m] τάτε [n] καὶ ἃ B Z [o] ὃν ἴσχει ἃ E H [p] Sic MS.

Digitized by Google

